ὅτε θεὸν, ὅτε ἀνθρωπον, ἀλλ' ἐξύβριζον εἰς πάντας· καὶ ἐπὶ τῷ ξενίων ἐντυχόντι, ἀπάγοντες εἰς τὰ οἰκία κατήσθιον. Ζεὺς ὑμισήσας αὐτὸς, ἀπέστειλεν Ἑρμῆν, ὅπως λύσῃ ἐλθὼν δίκην αὐτοῖς ἐνδικάζων· καὶ ὁ μὲν Ἑρμῆς ἐβάλυσεν ἀχρὼ-ματους τὰς ὄψεις αὐτῶν καὶ τὰς χεῖρας· Ἄρης δ' ἐπεὶ τὸ χεῖρον εἰς αὐτὸν ἀνέφερε Πολυφόντην, τότε μεταβαλὼν τὴν μορφὴν τοὺς παῖδας· ἤλλαξε δὲ μετὰ Ἑρμοῦ τὴν φύσιν αὐτῶν εἰς ὄρνιθας· καὶ ἐκείνῳ Πολυφόντην μὲν σὺν ἐφθεγγομένην νυκτὸς, ἀτρόμου σίζου καὶ ὠοτόκῃ κεφαλὴν ἔχουσα κάτω, τοὺς δὲ ὠδῖνας ἄνεργους ἄνω, πολέμου καὶ στάσεως ἀνθρώποις ἄγγελος. Ὁρᾷ δ' ἐλεύετο λαγῶς, ὄρνις ἐπ' ὀδοῦ φαινόμενον ἀγαθῷ· Ἄγριον δὲ μετέβαλεν εἰς γύπα, πάντων ὀρνίθων ἔθιστον θεοῖς τε καὶ ἀνθρώποις· καὶ Ἀφ' παντὸς ἴμβρον αὐτῷ κρέως καὶ αἵματος ἐνέβαλον ἀνθρωπείου· ἢ ὑ θεράπαιναν αὐτῶν ἐποίη-σεν ἵππιλον· ἣ ὑ μεταβάλλουσα τὴν φύσιν, ἤνυξετο θεοῖς, μὴ κακὸς ὄρνις ἀνθρώποις γένοιτο. καὶ αὐτῆς ὑπήκουσαν Ἑρμῆς καὶ Ἄρης, ἐπεὶ κατ' αἰτίας ἔσωσεν, ἃ πρόσταγον οἱ δεσπόται, καὶ ὅθεν ἀγαθὸς ὄρνις ὁ ὄρνις ἐκεῖνος ἡ ἵππιλος καὶ σῶα.

Τέραμβος. κδ'.

Τέραμβος Εὐσείρου τοῦ Ποσειδῶνος καὶ Εἰδοθέας νύμφης Ὀθρηίδος, ᾤκει τὴν γῆν τὴν Μιλήσιον πρὸς

Ἱστορεῖ Νίκανδρος ἐν ἀ. ἑτεροιουμένων.

ὅτε θεὸν, ὅτε ἄνθρωπον, ἀλλ' ἐξυβρίζον ἐς πάντας· καὶ ἐπὶ τῷ ξένων ἀτύχῃσιν, ἀπάγοντος ἐς τὰ οἰκία κατήφιον Ζῆν ὃ μισήσας αὐτὸς, ἀπέστειλεν Ἑρμῆν, ὅπως ἑῷ ἐθέλῃ δίκην αὐτὸς ἐμπεδάλλῃ· καὶ ὁ μὲν Ἑρμῆς ἐβάλετο σκηνὴν ἀμφὶ τοὺς τοίχους αὐτῆς καὶ τὰς χέρας· Ἄρης δ' ἐπεὶ τὸ γένος ἐς αὐτὸν ἀνέφερε Πολυφόντῃ, τότε μὲν ἐξέλεγε τὸν μόρον τοῦ παῖδος· ἤλλαξε δὲ μορφὴν ἑρμοῦ τῷ φύσιν αὐτῶν ἐς ὄρνιθας· ἐν ἐγένετο Πολυφόντῃ μὲν σὺν φθεγγομένῃ νυκτὸς, ἀτὰρ σίζου καὶ τοτὲ τῇ κεφαλῇ ἴσχουσα κάτω, τοὺς δὲ τοίχους ἄκρους ἄνω, πολέμου καὶ στάσεως ἀνθρώποις ἄγγελος. Ὀρφνὴ δ' ἐγένετο λαγὼς, ὄρνις ἐπ' ὀδοῖ φαινόμενον ἀγαθόν· Ἀγρὶς δὲ μετέβαλεν ἐς γύπα, πάντων ὀρνίθων ἔθειραν θεοῖς τε καὶ ἀνθρώποις· καὶ Ἀλκὼ πάντως ἴμβρον αὐτῷ κρέως καὶ αἵματος ἐνέβαλεν ἀνθρωποειδῆ· τῆς δὲ θεράπαιναν αὐτῶν ἐποίησεν ἴπνιδα· ἣ δὲ μεταβάλλουσα τὴν φύσιν, ἤνυσε τὸ θεοῖς, μὴ κακὸς ὄρνις ἀνθρώποις γένεσθαι. καὶ αὐτῆς ὑπήκουσαν Ἑρμῆς καὶ Ἄρης, ἐπεὶ κατ' ἀνάγκας ἔσωσεν, ἃ πρόσθεν ἐτάσσετο, καὶ ὅτιν ἀγαθὸς βίος ὁ ὄρνις ἐμοὶ θήρᾳσιν ἰόντι καὶ σαῦσι.

Τέραμβος. κδ'.

Τράμβος Εὐσείρου τοῦ Ποσειδῶνος καὶ Εἰδοθέας νύμφης Ὀθρηίδος, ᾤκει ἐν τῇ γῇ τῇ Μιλήσιων πρὸς

Ἱστορεῖ Νίκανδρος ἐν ἀ. ἑτεροιουμένων.

πρὸ τῆς ὑπορφάνης τῆς Ὄθρυος· ἐγγύθεν δὲ αὐτῆς θρέμματα ἔλειπε, καὶ αὐτὰ ἐκπίμπλαντον αὐτὸς· νύμφαι δὲ συνελάμβανον αὐτῷ, διότι αὐτὰς οὐ τοῖς ὄρεσιν ἄδων ἔτερπεν· λέγεται γὰρ μουσικώτατος τῶν τότε γενέσθαι, καὶ ἐν βουκολικοῖς ἄσμασι διαπρέψαι, καὶ σύριγγα ποιμενικὸν οὐ τοῖς ὄρεσι ζυθεῖναι· καὶ λύρᾳ πρῶτος ἀνθρώπων χρήσασθαι, ἔλεξέ τε καὶ μίσα μέλη ποιῆσαι· τούτων οἷν χάριν λέγουσιν ὀφθῆναι αὐτῷ ποτε νύμφας, καὶ χορεύουσαι πρὸς τὰ κρούματα τοῦ Τρώμβου· Πάνα δὲ τοῦτον κατ' ὀμμάτων αὐτῷ πρᾶγμα εἶναι, καταλιπόντα τὸν Ὄθρυν ἐν τῷ πεδίῳ τὰ πρόβατα ποιμαίνειν· ἐξαίσιον γάρ τι καὶ ἄπιστον χρῆμα χθονός ἐπεῖναι μέλειν· ὁ δὲ Τρώμβος ὑπὸ μεγαλαυχίας ἐν νεότητος οἷα θεοβλαβὴς, ἀπελαύνειν μὴ ἐν τῆς Ὄθρυος εἰς τὸ πεδίον ἐκ ἐγίγνωσκεν· ἀπερρίνειν δὲ λόγον ἀχαρίν τε καὶ αὐόνητον εἰς τὰς νύμφας, ὅτι γένος μὲν εἶσιν ἐκ ἀπὸ Διός, ἀλλ' ἔτεκεν αὐτὰς ἡ δεῖνα τοῦ ποταμοῦ. Ποσειδῶν δὲ πόθῳ μιᾶς αὐτῶν Διοπάτρης τὰς ἀδελφὰς ἐρρίζωσε, καὶ ἐποίησεν αἰγείρους, ἄχρι αὐτὸς κρεωθεὶς τῆς δρυὸς ἀνέλυσε, καὶ πάλιν αὐτὰς ἀπέδωκε τῷ ἐξ ἀρχῆς φύσιν· τοιαῦτα μὲν ὁ Τρώμβος ἐκόρτομησεν εἰς τὰς νύμφας. Μετὰ δὲ χρόνον ὀλίγον ἐξαίφνης ἐγένετο κρυμὸς

μὸς, καὶ ἐπάγησαν αἱ χαραδραι, καὶ πολλὴ κατέπεσε χιὼν, καὶ τὰ ποίμνια τοῦ Τεραμβου σὺν αὐταῖς ἀτραποῖς καὶ δένδρεσιν ἠφανίσθη· νύμφαι δὲ μετέβαλον κατ' ὀργὴν τὸν Τέραμβον, ὅτι αὐταῖς ἐλοιδόρησε, καὶ ἐγένετο † ὑλοφάγος κεράμβυξ. Φαίνεται δὲ ὑπὸ τῶν ξύλων, καὶ ἐστιν ἀγκύλος ἐκ τῶν ὀδόντων, καὶ συνεχῶς τὰ γένεια κινεῖν, μέλας, πραμήκης, πτέρυγας στερεὰς ἔχων, ἐοικὸς τοῖς μεγάλοις κανθάροις· οὗτος ξυλοφαγος βοῦς καλεῖται· πρὰ δὲ Θετταλοῖς κεράμβυξ· τοῦτον οἱ παῖδες παίγνιον ἔχουσι, καὶ τὴν κεφαλὴν ἀποτέμνοντες, φέρουσιν· ἡ δὲ ἔοικε σὺν τοῖς κέρασι λύρᾳ τῇ ἐκ τῆς χελώνης.

fortè, ξυλοφάγος.

Βάττος. κγ'.

Ἄργου τοῦ Φείξου, ⊂ Περιμήλης τῆς Ἀδμήτου θυγατρὸς ἐγένετο Μάγνης· οὗτος ᾤκησεν ἐγγὺς Θεσσαλίας, ⊂ τὴν γῆν ταύτην ἀπ' αὐτοῦ Μαγνησίαν προσηγόρευσαν οἱ ἄνθρωποι· ἐγένετο δ' αὐτῷ παῖς περίβλεπτος τὴν ὄψιν, Ὑμέναιος· ἐπεὶ δὲ Ἀπόλλων ἀϊδόντα ἔρως ἔλαβε τοῦ παιδὸς, καὶ οὐκ ἐξελίμπανε τὰ οἰκία τοῦ Μαγνητος, Ἑρμῆς ὑπιβουλεύει τῇ ἀγέλῃ τῶν βοῶν τοῦ Ἀπολλωνος. αἱ δὲ ἐνέμοντο ἵνα περ ἦσαν αἱ Ἀδμήτου βόες· καὶ πρῶτα μὲν ἐμβάλλει ταῖς κυσὶν, αἱ ἐφύλαττον αὐτὰς, λήθαργον ⊂ κυνάγχην, αἱ δὲ ἐξελάθοντο τῶν βοῶν καὶ τὴν φυλακὴν ἀπώ-

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α', καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, καὶ Διδύμαρχος μεταμορφώσεων γ', καὶ Ἀντίγονος ἐν ταῖς ἀλλοιώσεσι, καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν Ἐπιγράμμασιν, ὥς φησι Πάμφιλος ἐν α'.

ἀπώλεσαν· εἶτα δ' ἀπελαύνει πόρτιας δώδεκα· καὶ ἑκατὸν βοῦς ἄζυγας, καὶ ταῦρον, ὃς ταῖς βουσὶν ἐπέβαινεν· ἐξῆπτε δὲ ἐκ τῆς οὐρᾶς πρὸς ἕκαστον ὕλην, ὡς ἂν τὰ ἴχνη τῶν βοῶν ἀφανίσῃ· καὶ ἦγεν αὐτὰς ἐλαύνων διά τε πελάσγων, καὶ δι' Ἀχαΐας τῆς Φθιώτιδος, καὶ διὰ Λοκρίδος, καὶ Βοιωτίας, καὶ Μεγαρίδος· καὶ ἐντεῦθεν εἰς Πελοπόννησον διὰ Κορίνθου καὶ Λαρίσσης ἄχρι Τεγέας. καὶ ἐντεῦθεν παρὰ τὸ λύκαιον ὄρος ἐπορεύετο, καὶ παρὰ τὸ Μαινάλιον, καὶ τὰς λεγομένας Βαττοῦ σκοπιάς· ᾤκει δὲ ὁ Βαττος οὗτος ἐπ' ἄκρῳ τῷ σκοπέλῳ· καὶ ἐπεὶ τῆς φωνῆς ἤκουσε παρελαυνομένων τῶν μόσχων, προελθὼν ἐκ τῶν οἰκίων ἔγνω περὶ τῶν βοῶν ὅτι κλοπιμαίας ἄγει καὶ μισθὸν ᾔτησεν, ἵνα πρὸς μηδένα φράσῃ περὶ αὐτῶν· Ἑρμῆς δὲ δώσειν ὠδὶ τούτοις ὑπέσχετο· καὶ ὁ Βάττος ὤμοσε περὶ τῶν βοῶν πρὸς μηδένα κατερεῖν. Ἐπεὶ δὲ αὐτὰς Ἑρμῆς ἔκρυψεν ἐν τῷ πριῶνι παρὰ τὸ κορυφαίσιον εἰς τὸ σπήλαιον εἰσελάσας ἄντικρυς Ἰταλίας καὶ Σικελίας, ἆυθις ἀφίκετο πρὸς τὸν Βάττον ἀλλάξας ἑαυτὸν· καὶ πειρώμενος εἰ αὐτῷ συμμένειν ὠδὶ τοῖς ὁρκίοις ἐθέλει· διδοὺς δὲ μισθὸν χλαῖναν, ἐπυνθάνετο παρ' αὐτοῦ μὴ κλοπιμαίας βοῦς ἔγνω παρελαθείσας. ὁ δὲ Βάττος ἔλαβε τὴν χλαμύδα, καὶ ἐμήνυσε περὶ τῶν βοῶν.

Ἑρμῆς

Ἑρμῆς δὲ χαλεπήνας ὅτι διχόμυθος ἦν, ἐραπίσεν αὐτὸν τῇ ῥάβδῳ, καὶ μετέβαλεν εἰς πέτρον. Ὃ αὐτὸν οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα· λέγεται δὲ καὶ ὁ τόπος προδευόντων ἄχρι νῦν σκοπιὰ Βαττοῦ.

Δημήτηρ ὅτε πλανῆτις ἐπήει γῆν ἅπασαν κατὰ ζύτησιν τῆς θυγατρὸς, ἀνεπαύσατο ἐν τῇ Ἀττικῇ· καὶ αὐτὴν ὑπὸ πολλοῦ καύματος ὑποδέχεται Μίσμη, καὶ διδοῖ ποτὸν ὕδωρ ἐμβαλοῦσα γλήχωνα καὶ ἄλφιτον εἰς αὐτὸ· καὶ ἡ δημήτηρ ἐξέπιε κατὰ τὸ δίψος, τὸ ποτὸν ἀθροῦν· ὁ δὲ παῖς ὁ τῆς Μίσμης Ἀσκαλαβὸς ἰδὼν, ἐποίησε γέλοντα· καὶ αὖτις ἐκέλευσεν ὀρέγειν αὐτῇ λέβητα βαθὺν, ἢ πιθάκνην· δημήτηρ δὲ κατ' ὀργὴν ὡς εἶχε τὸ ποτὸν αὐτῷ τὸ καταλειπόμενον προσέχεεν· ὁ δὲ μεταλαβὼν, ἐγένετο ποικίλος ἐκ τοῦ σώματος Ἀσκαλαβὸς, καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων μεμίσηται· καὶ ἐστὶν αὐτῷ δίαιτα πρὸ ὀχετὸν· ὁδ' ἀσκητείνας κεχαρισμένος γίνεται Δημῆτρι.

Ἀσκαλαβὸς. κδ'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Ὠρίωνος τοῦ Ὑριέως ἐν Βοιωτίᾳ θυγατέρες ἐγένοντο Μητιόχη καὶ Μενίππη· αὗται ὅτε Ὠρίονα ἠφάνισεν ἐξ ἀνθρώπων Ἄρτεμις, ἐτρέφοντο πρὰ τῇ μητρὶ· καὶ Ἀθηνᾶ μὲν ἐδίδασκεν αὐτὰς ἱστοὺς ἐξυφαίνειν· Ἀφροδίτη δὲ αὐταῖς ἔδωκε κάλλος· ἐπεὶ δὲ Ἀονίαν ὅλην

Μητιόχη καὶ Μενίππη. κε.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ', καὶ Κόριννα ἑτεροιῶν α'.

ἔλαβε λοιμὸς, καὶ πολλοὶ ἀπέθνησκον, θεωροὺς ἀπέστειλαν πρὰ τὸν Ἀπόλλωνα τὸν Γορτυνίον· καὶ αὐτοῖς εἶπεν ὁ θεὸς, ἱλάσασθαι δύο τοὺς Ἐριουνίους· ἔφη δὲ καταπαύσειν αὐτοὺς τὴν μῆνιν, εἰ δύο δυσὶν ἔχουσαι παρθένοι θύματα γένοιντο· πρὸς δὲ δὴ τὸ μαντεῖον, οὐδεμία τῶν ἐν τῇ πόλει παρθένων ὑπήκουσεν, ἄχρι γυνὴ θῆσσα τὸν χρησμὸν ἐξήνεγκε πρὸς τὰς θυγατέρας τοῦ Ὠρίωνος· αἳ δ' ὡς ἐπύθοντο πρὰ τὸν ἱστὸν ἕκουσαι, τὸν ὑπὲρ αὐτῶν θάνατον ἐδέξαντο, πρὶν ἢ τὴν ἰδιδήμιον ἰδιπεσοῦσαν αὐτὰς ἀφανίσαι νόσον. τρὶς δὲ βοησάμεναι χθονίους δαίμονας, ὅτι αὐτοῖς ἕκουσαι θύματα γίνονται, ἐπάταξαν ἑαυτὰς τῇ κερκίδι πρὰ τὴν κλεῖδα, καὶ ἀνέῤῥηξαν τὴν σφαγὴν· καὶ αὗται μὲν ἀμφότεραι κατέπεσον ἐς τὴν γῆν· Φερρεφόνη δὲ καὶ ᾅδης οἰκτείραντες τὰ μὲν σώματα τῶν παρθένων ἠφάνισαν· ἀντὶ δ' ἐκείνων ἀστέρας ἀνήνεγκαν ἐκ τῆς γῆς· οἱ δὲ φανέντες, ἀνηνέχθησαν εἰς οὐρανὸν, καὶ αὐτοὺς ὠνόμασαν ἄνθρωποι κομήτας· ἱδρύσαντο δὲ πάντες Ἀόνες ἐν Ὀρχομένῳ τῆς Βοιωτίας, ἱερὸν ἐπίσημον τῶν παρθένων τούτων. καὶ αὐταῖς καθ' ἕκαστον ἔτος κόροι τε καὶ κόραι μειλίγματα φέρουσι· πρόσα γορεύουσι δ' αὐτὰς ἄχρι νῦν Αἰολεῖς, κορωνίδας παρθένους.

Ἡρακλῆς

Ἡρακλῆς ὅτε μὲν τὴν Ἀργοναυτῶν ἔστελε, Ὕλας. κς'.
στρατηγὸς ὑπ' αὐτὴν ἀχθεὶς, σωσεπίγειο
μετ' αὐτ᾽ ἠὶ Ὕλαν, παῖδα μὴ Κίνυρος. * ἵτυ-
ποσ' νέον δὲ © ἁλὼν ἐπεὶ ὃ πρὸς τὸ ξενὸν ἐξί- μένων σ'.
κνεῖτ᾽ τὸν πόντον, ἠὶ τὰ σφυρὰ παρέστυφεν τῆς * ἀτόπως
Ἀργανθώνης, © ἐλείου χειμὼν © σάλος, αὐ-
ταῦθα καταλήντες ἀγκύρας, αὐ παυσαν
τὼ ναῦν· ἠὶ Ἡρακλῆς ταρῆχε ὃς Ἥρωσι δ'
δεῖπνον· ὁ δ᾽ παῖς Ὕλας ἔχων χρυσῆν, ἦλθε πρὸς
τ᾽ Ἀσκάνιον ποταμὸν, ὕδωρ ἀρίστων ὃς ἀριστεῦσι.
ἠὶ αὐτὸν ἰδεῖν νύμφαι, τὸν ποταμὸν τότε θυ-
γατέρες, ἠράσθησαν· ἀρυόμενον δ᾽ καταβάλλα-
σὶν εἰς τὼ κρήνιον· © ὁ μὴ Ὕλας ἀφανὴς ἐγένε-
το· Ἡρακλῆς δ᾽ ἐπεὶ αὐτῷ ὄκ ἐνόησ, καταλι-
πὼν δὴν Ἥρωας, ἐξερευνᾶ παντᾳῖ δ'ν ὄρυ-
μὸν, καὶ ἐβόησε πολλάκις τὸν Ὕλαν· νύμφαι
δὲ δείσασαι δ'ν Ἡρακλέα μὴ αὐτὸν θῆροι κρυπτό-
μενον ταφ' αὐτοῖς, μετέβαλον δ'ν Ὕλαν, ©
ἐποίησαν ἠχώ, καὶ πρὸς πὼ βοὴν πολλάκις
ἀντεφώνησεν Ἡρακλεῖ. καὶ ὁ μὲν ὡς ὄκ ἐδύνατο,
πολεῖσα πᾶσα ἔξω ἐξευρεῖν δ'ν Ὕλαν, πρεγέ-
νετο πρὸς τὼ ναῦν· ἠὶ αὐτὸς μὴ ἔστελε μετὰ τὴν
ἀρετέων· πολύφημον δὲ καταλείπει ἐν τῷ
χωρίῳ, εἴ πως δύναιτο ζητῶν ἐξευρεῖν αὐτῷ
δ'ν Ὕλαν· ἠὶ ὁ μὴ πολύφημος ἔφη τελευτή-
σας· Ὕλα δ᾽ θύσοι ἄχρι νῦ πρὸ τὼ κρήνιον

Ιστορῶ Νίκαν-
δρος ἐν τρίτῳ

οἱ ἰνθιχώριοι, καὶ αὐτὸν ἐξ ὀνόματος εἰς τρὶς ὁ ἱερεὺς φωνεῖ, καὶ εἰς τρὶς ἀμείβεται πρὸς αὐτὸν ἠχώ.

Ἰφιγένεια. κζ'. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Θησέως καὶ Ἑλένης τῆς Διὸς ἐγένετο θυγάτηρ Ἰφιγένεια, ὃ αὐτὴν ἐξέτρεφεν ἡ τῆς Ἑλένης ἀδελφὴ Κλυταιμνήστρα· πρὸς δὲ τὸν Ἀγαμέμνονα εἶπεν αὐτὴ τεκεῖν· Ἑλένη γὰρ πυνθανομένη τὴν ἀδελφῶν, ἔφη κόρη παρὰ Θησέως ἀπελθεῖν· ἐπεὶ δὲ ἡ στρατεία ἡ τῶν Ἀχαιῶν ὑπὸ ἀπλοίας ἐν Αὐλίδι κατείχετο, προσεσήμαινον οἱ μάντεις, ὅτι ἔσοιτο πλοῦς, ἐὰν Ἀρτέμιδι θύσωσι τὴν Ἰφιγένειαν. Ἀγαμέμνων δὲ διδοῖ σφάγιον αὐτὴν αἰτούντων τῶν Ἀχαιῶν· πρὸς δὲ τὸν βωμὸν ἀγομένην οἱ ἀριστεῖς, οὐ προσέβλεψαν, ἀλλὰ πάντες ἔτρεψαν ἄλλῃ τὰς ὄψεις· Ἄρτεμις δὲ αὐτὴ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε μόχον, αὐτὴν δὲ προσωτάτω τῆς Ἑλλάδος ἀπήνεγκεν εἰς τὸν Εὔξεινον λεγόμενον πόντον, παρὰ Θόαντα τὸν βορυσθένους παῖδα· καὶ τὸ μὲν ἔθνος ἐκεῖνο τῶν νομαίδων ἐκάλεσε Ταύρους, ἐπεὶ αὐτὴ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε ταῦρον· αὐτὴν * δοσαυροπόλου· κατὰ δὲ χρόνον ἱκούμενον, ἀπῴκισε τὴν Ἰφιγένειαν εἰς τὴν Λευκὴν λεγομένην παρὰ τὸν Ἀχιλλέα, καὶ ἀλλάξασα ἐποίησεν αὐτὴν ἀγήρων καὶ ἀθάνατον δαίμονα· καὶ ὠνόμασεν αὐτὴ τῆς Ἰφιγενείας,

γενέας, ὀρειλοχίαν· ἐγένετο δὲ Ἀχιλλεῖ συνοίκος.

Τυφὼν ἐγένετο γῆς υἱὸς ἐξαίσιος δαίμους πρὸς ἰσχύν· κατὰ δὲ τὴν ὄψιν παρηλλαγμένος· ἐπεφύκεσαν γὰρ κεφαλαὶ πλεῖσαι, καὶ χεῖρες, καὶ πτέρυγες· ἐκ δὲ τῶν μηρῶν μέγισται δρακόντων πεῖραι· φωνὰς δὲ παντοίας ἠφίει, καὶ αὐτὸν οὐδὲν ὑπέμενεν εἰς ἀλκήν· οὗτος ἐπεθύμησε τοῦ Διὸς ἔχειν τὴν ἀρχήν, καὶ αὐτὸν ἐπερχόμενον οὐδεὶς ὑπέμενε τῶν θεῶν, ἀλλὰ δείσαντες ἔφυγον πάντες εἰς τὴν Αἴγυπτον. Ἀθηνᾶ δὲ καὶ Ζεὺς ὑπελείφθησαν μόνοι· Τυφὼν δ' ἐκ ποδὸς ἐδίωκεν· οἱ δὲ προμηθείᾳ διέφυγον, ἀλλάξαντες εἰς ζῶα τὰς ὄψεις. καὶ Απόλλων μὲν ἐγένετο ἱέραξ· Ἑρμῆς δὲ ἴβις, Ἄρης δὲ λεπιδωτὸς ἰχθὺς, Ἄρτεμις δὲ σίλουρος· τράγῳ δὲ εἰκάζετο Διόνυσος, ἕλλῳ δ' Ἡρακλῆς, βοΐ δ' Ἥφαιστος, μυγάλῃ δὲ Λητώ· καὶ ὡς ἕκαστος ἔτυχε τῶν ἄλλων θεῶν μετέβαλε τὴν ὄψιν· ἐπεὶ δὲ Τυφῶνα Ζεὺς βάλλει κεραυνῷ· καιόμενος δὲ ὁ Τυφὼν ἔκρυψεν ἑαυτὸν, καὶ ἠφάνισεν τὴν φλόγα τῇ θαλάσσῃ. Ζεὺς δ' οὐκ ἀνίησι, ἀλλὰ μέγιστον ὄρος ὑπιβάλλει Τυφῶνι τῇ Αἴτνῃ. καὶ αὐτῷ φύλακα τὸν Ἥφαιστον ὑπὲ τῶν ἄκρων ἐφίστησιν. ὁ δ' ἐνερείσας τοὺς ἄκμονας αὐτοῦ τῷ τραχίλῳ διαπυρόν ἐργάζεται μύδρον.

Τυφὼν. κή. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Γαλινθιάς. κθ'. Προίτου δυγάτηρ οὐ θήβαις ἐχρύσε Παλινθιάς· αὕτη τῇ θήνος ἰῷ συμπαίκτεια καὶ ἑταίρισσα Ἀλκμήνης τῆς Ηλεκτρύωνος· ἐπεὶ δὲ Ἀλκμήνῃ ὁ τόκος ἤπειγεν τὸν Ἡρακλέους μοῖραι κὴ εἰλείθυιαι πρὸς χάριν τῆς Ἥρας κατέσχον ἐν ταῖς ὠδῖσι τὴν Ἀλκμήνην. καὶ αὗται μὲν ἐναντίζουσι κρατοῦσαι τὰς ἐκυτῶν χεῖρας. Γαλινθιὰς δὲ εἰσασα μὴ Ἀλκμήνην ἐκσώσαι βαρυομένην οἱ πόνοι, δραμοῦσα παρά τε τὰς μοίρας καὶ τὴν εἰλείθυιαν ἐξήγγελεν, ὅτι Διὸς βουλῇ γέγονε τῇ Ἀλκμήνης παῖς κύρος· αἱ δὲ ἐκείνων τιμαὶ κατελέλυνται· πρὸς δὴ τοῦτ' ἐκπλήξεις ἔλαβε τὰς μοίρας, καὶ ἀνῆκαν οὖν τὰς χεῖρας· Ἀλκμήνην δὲ κατέλιπον οὖν αἱ ὠδῖνες· καὶ ἐγένετο Ἡρακλῆς, αἱ δὲ μοῖραι πένθος ἐποιήσαντο· κὴ τῆς Γαλινθιάδος ἀφείλοντο τὴν κρείαν, ὅτι θνητὴ τὸν θεὸν ἐξηπάτησεν. καὶ αὐτὴν ἐποίησαν δολερὰν γαλῆν, καὶ δι' αὐτῶν ἔδωκαν ἐν τῷ μυχῷ, καὶ ἄμορφον ἀπέδειξαν τὴν οὖσιν· θορίσκεται μὲν δι' ὠτός· τίκτει δ' ἀναφέρουσα διὰ κυάμου ἐκ τοῦ τραχήλου· τοὔνομα δὲ ἔκτισε πρὸς τὴν μεταβολὴν τῆς ὄψεως ὄκτφεν· καὶ ἀπέδειξεν ἱερὰν αὐτῆς διάκονον· Ἡρακλῆς δ' ἐπεὶ ἠυξήθη τὴν χάριν ἐμνημόνευσε, καὶ αὐτὴ ἐφύλαξεν ἀφίδρυμα παρὰ τὸν οἶκον· καὶ ἱερὰ προσήνεγκε·

Ισορᾶ Νίκανδρος ἑτεροιουμένην δ'.

κε· ταῦτα ιῦν ἐπὶ τὰ ἱερὰ Θηβαῖοι φυλάξωσι, καὶ πρὸ Ἡρακλέους ἑορτῇ θύσει Γαλινθιάδι πρώτῃ.

Ἀπόλλωνος καὶ ἀκακαλλίδος τῆς Μίνω θυγατρὸς, ἐγένετο παῖς ἐν Κρήτῃ Μίλητος· τοῦτον ἡ Ἀκακαλλὶς δείσασα Μίνω ἐξέβαλλεν εἰς πλῶ ὕλλῳ, καὶ αὐτὸν ἐπιφοιτῶντες λύκοι, βοηλῇ Ἀπόλλωνος, ἐφύλαττον, καὶ ὤρεγον παρὰ μέρος γάλα· ἔπιπτον ὑ βοκόλοι ὠδυτυχόντες, ἀνείλοντο καὶ ἔτρεφον ἐν τοῖς οἰκείοις· ἐπεὶ δὲ ὁ παῖς ἠύξετο, καὶ ἐγένετο καλὸς, καὶ θρασήριος, καὶ ὁ Μίνως κατ' ὀφθον ἐνεχείρ βιάζεαθ, τότε νυκτὸς ὁ Μίλητος ἐμβὰς εἰς ἄκατον, βοηλῇ Σαρπηδόνος εἰς καρίαν ἀφδισθράτηφ· καὶ πόλιν οἰ ταυθοῖ κτίσας μίλητον, ἔγημεν Εἰδυθέλῃ πλῶ Εὐρύτου θυγατρὰ τῆ βασιλέως τὴν ἡφρῶδιν· καὶ ἐγένοντο δίδυμοι παῖδες αὐτῷ Καῦνος καὶ Βυβλὶς, ἀφ' οὗ πόλις ὄσιν ἐπ νωῦ οἰ Καρία, Καῦνος καὶ Βιβλίς· τούτης ἐγένοντο πλεῖσοι μνησῆρες ὠδιχώριοι, καὶ κατὰ κλέος ἐκ τῆς πείξ πόλεων· ἡ δὲ τὴν μὲν λόγον ἐποεῖτο βραχῶ, αὐτῷ δὲ ἄφατος ἔρως ἐξέμηνε τοῦ Καύνου· καὶ τὸ πάθος ἄχρι μὲν ἐδώατο κρύπτειν· ἐλελήθει δὲ γονεῖς· ἐπεὶ δὲ καθ' ἡμέρας ἔιχετο χαλεπωτέρῳ δαίμονι, νυκτὸς ἔγνω καταβαλλειν

Βιβλίς. λ'. Ἱερεῦ Νίκανδρος ἐτῶν εἰσὶ μίνας β'.

ἐκ τῆς πέτρας ἑαυτὴν· καὶ ἡ μὲν εἰς τὸ πλησίον ὄρος παρελθοῦσα εἴπτειν ἑαυτὴν ἐπεχείρησε. νύμφαι δὲ κατέσχοις οἰκτείρασαι, καὶ πολὺν ὕπνον ἐνέβαλον, καὶ αὐτὴν ἤλλαξαν ἀπ' ἀνθρώπως εἰς δαίμονα, καὶ ὠνόμασαν Ἁμαδρυάδα νύμφην Βιβλίδα, ὃ ἐποιήσαντο σωδίαιτον ἑταιρίδα· καλεῖται δὲ καὶ τὸ ῥέος ἐκ τῆς πέτρας ἐκείνης ἄχρι νῦν παρὰ τοῖς ἐνδιχωρίοις, δάκρυον Βιβλίδος.

Μεσσάπιοι. λά.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.

Λυκάονος τοῦ αὐτόχθονος ἐγένοντο παῖδες Ἰάπυξ καὶ Δαύνιος, καὶ Γευκέτιος· οὗτοι λαὸν ἀθροίσαντες, ἀφίκοντο τῆς Ἰταλίας παρὰ τὸν Ἀδρίαν· ἐξελάσαντες δὲ τοὺς ἐνταυθοῖ οἰκοῦντας Αὔσονας, αὐτοὶ καθιδρύθησαν· ἦν δὲ τὸ πλέον αὐτοῖς τῆς στρατιᾶς ἔποικον, Ἰλλυριοὶ, Μεσσάπιοι· ἐπεὶ δὲ τὸν στρατὸν ἅμα καὶ τὴν γῆν ἐμέρισαν τριχῇ, καὶ ὠνόμασαν ὡς ἑκάστοις ἡγεμόνος εἶχε, Δαυνίους καὶ Γευκετίους, καὶ Μεσσαπίους· τὸ μὲν ἀπὸ Ταύραντος ἄχρι πρὸς τὴν ἐσχατιὰν τῆς Ἰταλίας, ἐγένετο Μεσσαπίων, ἐν ᾗ πόλις ᾤκηται Βρεντέσιον. τὸ δὲ παρὰ τὴν ἐντὸς τοῦ Ταύραντος, ἐγένετο Γευκετίων· ἐνδοτέρω δὲ τούτου τῆς θαλάσσης ἐπέπλεον, Δαύνιοι· τὸ δὲ σύμπαν ἔθνος ὠνόμασαν Ἰαπήγων· καὶ ἐγένετο ταῦτα, πολὺ πρὸ τῆς Ἡρακλέους στρατείας· ἦν δὲ τοῖς τότε βίος ἀπὸ

θρεμμάτων

θρεμμαίτων καὶ νομῆς· μυθολογοῦσιν οὖν ἐν τῇ Μεσσαπίων γῇ πρὰ τὰς λεγομένας ἱερὰς πέτρας, φανῆναι νύμφας ὠθιμηλίδας χορευούσας· τοὺς δὲ παῖδας τῶν Μεσσαπίων, καταλιπόντας τὰ ποίμνια καὶ θεωμένους, εἰπεῖν, ὅτι βέλτιον αὐτοὶ χορεύουσιν· οὗτος ὁ λόγος ἤλγυνε τὰς νύμφας, καὶ τὸ νεῖκος ἐς πλέον ἐγένετο περὶ τῆς χορείας· οἱ δὲ παῖδες ὅτι μὲν ἦν αὐτοῖς ἅμιλλα πρὸς δαίμονας, ἠγνόουν· ἐχόρευον δ' οἷα πρὸς ὁμήλικας θνητὰς, καὶ ὁ τρόπος αὐτοῖς τῆς ὀρχήσεως ἅτε ποιμένων, ἄμουσος ἦν· ταῖς δὲ νύμφαις πᾶν ὅσον ἢ πλεῖστον ἐπέδωκεν εἰς κάλλος· καὶ ἐπεκράτησαν χορεύουσαι τῶν παίδων, ἃ ἔλεγον πρὸς αὐτοὺς τάδε· ὦ κοῦροι, τὸ νεῖκος ᾔρασθε πρὸς ὠθιμηλίδας νύμφας, οὐκ οὖν ὦ ἄφρονες νικώμενοι δώσετε δίκην· καὶ οἱ παῖδες ἵναπερ ἑστήκεσαν πρὰ τὸ ἱερὸν τῶν νυμφῶν, ἐγένοντο δένδρα· καὶ ἔτι νῦν ἀκούεται φωνὴ νυκτὸς ἐκ τῆς ὕλης οἷα θρηνούντων· ὁ δὲ τόπος ὀνομάζεται νυμφῶν τε καὶ παίδων.

Δρύοψ ἐγένετο Σπερχειοῦ παῖς τοῦ ποταμοῦ, καὶ Πολυδώρης μιᾶς τῶν Δαναοῦ θυγατέρων. οὗτος ἐβασίλευσε ἐν τῇ Οἴτῃ, καὶ θυγάτηρ αὐτῷ μονογενὴς ἐγένετο Δρυόπη, καὶ ἐπίμαινεν αὐτὴ τὰ πρόβατα τοῦ πατρὸς· ἐπεὶ δὲ

Δρυόπη, λβ'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α'.

αὐτῇ ἠγάπησαν ὑπερφυῶς Ἁμαδρυάδες νύμφαι, καὶ ἐποίησαντο συμπαίκτριαν ἑαυτῶν, ἐδίδαξαν ὑμνεῖν θεοὺς, καὶ χορεύειν· ταύτην ἰδὼν Ἀπόλλων χορεύουσαν, ἐπεθύμησε μιχθῆναι. καὶ ἐγένετο πρῶτα μὲν κλεμμύς· ἐπεὶ δ' ἡ Δρυόπη γέλοτα μετὰ τῶν νυμφῶν ὁ παίγνιον ἐποιήσατο τῇ κλεμμύν, καὶ αὐτὴν ἐνέθετο εἰς τοὺς κόλπους, μεταβαλὼν αὐτὶ τῆς κλέμμυος, ἐγένετο δράκων, καὶ αὐτὴν κατέλειπον αἱ νύμφαι πτοηθεῖσαι· Ἀπόλλων δὲ Δρυόπη μίγνυται· ἡ δὲ ᾤχετο φεύγουσα περίφοβος εἰς τὰ οἰκία τοῦ πατρὸς, καὶ οὐδὲν ἔφασε πρὸς τοὺς γονεῖς· ἐπεὶ δ' ἔγημεν αὐτὴν ὕστερον Ἀνδραίμων ὁ Ὀξύλου, γεννᾷ παῖδα ἐξ Ἀπόλλωνος Ἄμφισσον· Οὗτος ἐπεὶ τάχιστα ἠνδρώθη, ἀνὴρ ἐγένετο πάντων κρατῶν· καὶ ἔκτισε πρὰ τῇ Οὔτῃ πόλιν ὁμώνυμον τῷ ὄρει, καὶ τῶν ἐκεῖ τόπων ἐβασίλευσεν· ἱδρύσατο δὲ καὶ Ἀπόλλωνος ἱερὸν ἐν τῇ Δρυοπίδι, καὶ εἰς τοῦτο πρῶσαν τὸ ἱερὸν Δρυόπην, ἥρπασαν Ἁμαδρυάδες νύμφαι κατ' εὐμένειαν· καὶ αὐτὴν μὲν ἀπέκρυψαν εἰς τὴν ὕλην· αὐτὶ δ' ἐκείνης αἴγειρον ἀνέφηναν ἐκ τῆς γῆς, καὶ παρὰ τὴν αἴγειρον ὕδωρ ἀνέῤῥηξαν· Δρυόπη δὲ μετέβαλε, καὶ αὐτὶ θνητῆς ἐγένετο νύμφη· Ἄμφισσος δὲ αὐτὶ τῆς πρὸς τὴν μητέρα

τέρα χαρίτος ἱερὸν ἱδρύσατο νυμφῶν, καὶ πρῶτος ἀγῶνα ἐπετέλεσε δρόμου καὶ ἔτι νῦν οἱ ἠθιχώριοι τὸν ἀγῶνα διαφυλάσσουσι τοῦτον· γυναικὶ δ' οὐχ ὅσιον παρατυχεῖν, ὅτι Δρυόπην ἀφανισθεῖσαν ὑπὸ νυμφῶν, δύο παρθένοι τοῖς ἠθιχωρίοις ἐδήλωσαν, πρὸς ἃς ἐχαλέπηναν αἱ νύμφαι, καὶ αὐτὰς ἀντὶ παρθένων ἐλάτας ἐποίησαν.

Μετὰ τὸν Ἡρακλέους ἐξ ἀνθρώπων ἀφανισμὸν, Εὐρυσθεὺς ἐξελάσας αὐτὸς τῆς πατρίδος, αὐτὸς ἐβασίλευεν· οἱ δὲ Ἡρακλεῖδαι καταφυγόντες πρὸς Δημοφῶντα τὸν Θησέως, ᾤκησαν τὴν Τετραπόλιν τῆς Ἀττικῆς· Εὐρυσθεὺς δὲ πέμψας ἄγγελον εἰς Ἀθήνας, πόλεμον προέλεγεν τοῖς Ἀθηναίοις, εἰ μὴ τοὺς Ἡρακλείδας ἐξελάσωσιν· οἱ μὲν οὖν Ἀθηναῖοι τὸν πόλεμον οὐκ ἀπελέγονται· Εὐρυσθεὺς δ' ἐνέβαλε εἰς τὴν Ἀττικὴν, καὶ παραταξάμενος, αὐτὸς μὲν ἀπεθνήσκει μαχόμενος· ἡ δὲ πληθὺς ἐτράπη τῶν Ἀργείων· Ὕλλος δὲ καὶ οἱ ἄλλοι Ἡρακλεῖδαι καὶ σὺν αὐτοῖς ἀπεθάνοντος Εὐρυσθέως κατοικίζονται πόλιν ἐν Θήβαις· ἐν δὲ τούτῳ καὶ Ἀλκμήνη κατὰ γῆρας ἀπεθνήσκει, καὶ αὐτὴν ἐξεκόμισαν Ἡρακλεῖδαι· ᾤκουν δὲ παρὰ τὰς ἠλέκτρας πύλας, ὅθι περ καὶ Ἡρακλῆς ἐν τῇ ἀγορᾷ· Ζεὺς δὲ Ἑρμῆν πέμπει, κελεύων

Ἀλκμήνη. λγ'. Ἱστορεῖ Φερεκύδης.

Ἀλκμήνην

Ἀλκμήνην ἐκκλέψαι, καὶ ἀπενεγκεῖν εἰς μακάρων νίσους, ὃ δοῦναι Ῥαδαμανθυῖ γυναῖκα· Ἑρμῆς δὲ πεισθεὶς Ἀλκμήνην ἐκκλέπτει. λίθους δ' αὐτ' αὐτῆς ἐντίθησιν εἰς τὴν σορόν· οἱ δ' ἡρακλεῖσαι ἐπεὶ τὴν λαρνακα φέροντες, ἐβαρύνοντο, κατατίθενται· καὶ ἀχρεκαλύψαντες εὗρον ἀντὶ τῆς Ἀλκμήνης λίθον, καὶ αὐτὸν ἐξελόντες, ἔστησαν ἐν τῷ ἄλσει, ὁθιπέρ ἐστιν τὸ ἡρῷον τὸ τῆς Ἀλκμήνης ἐν Θήβαις.

Σμύρνα. λδ'. ἀδέσποτος.

Θείαντος τοῦ Βήλου καὶ Ὠρειθυίας μιᾶς τῶν νυμφῶν, ἐγένετο θυγάτηρ ἐν τῷ ὄρει τῷ Λιβάνῳ Σμύρνα· ταύτην διὰ κάλλος πλεῖστοι καὶ ἐκ πόλεων πλείστων ἐμνήστευον· ἡ δὲ πολλὰ ἐμηχανᾶτο πρὸς ἀπάτην τῶν γονέων, καὶ ἀνάθεσιν τοῦ χρόνου· δεινὸς γὰρ αὐτὴν ἔρως ἐξέμηνεν ὑπὲρ τῷ πατρὶ· καὶ κατὰ μὲν ἀρχὰς δι' αἰδὼ κατέκρυπτε τὴν νόσον· ἐπεὶ δὲ τὸ πάθος αὐτὴν προσῆγεν, ἐξεῖπε τὸν λόγον πρὸς ἱππολύτην τὴν τροφόν· ἡ δὲ παραδώσειν αὐτῇ ἄκος τοῦ παραλόγου πάθους ὑποσχομένη, λόγον πρὸς τὸν Θείαντα προσέφερεν, ὅτι αὐτῷ κόρη μακαρίων ἀνθρώπων προθεῖ παραγενέσθαι κρυφαῖος εἰς τὴν κοίτην· ὁ δὲ Θείας, οὐ γὰρ ἐγίνωσκεν οἷα ἐπ' αὐτῷ ἐμηχανᾶτο, κατήνεσε τὸν λόγον· καὶ ὁ μὲν ἐν τῷ οἴκῳ σκοταῖος ὑπὲρ τῆς στρωμνῆς ἐξεδέχετο τὴν κόρην· ἡ δὲ τροφὸς κατακρύψασα

ψασα τῇ ἐσθῆτι τὴν Σμύρναν παρήγαγεν, καὶ πλείονα χρόνον ἐλελήθει, πρασσώμενον ἄχαρι καὶ ἄθεσμον ἔργον, ⊂ ὡς ἐκύησε μὲν ἡ Σμύρνα· Θείαντα δὲ πόθος ἔλαβεν ἐκμαθεῖν ἥτης ἦν ἡ κύουσα· ⊂ ὁ μὲν κατέκρυψε πῦρ εἰς τὸν οἶκον· Σμύρνα δ' ὡς ἐξίκετο πρὸς αὐτὸν, ἐπάϊστος ἐγένετο, προενεχθέντος ἐξαπίνης τοῦ πυρὸς· καὶ τὸ βρέφος μὲν ἐξέβαλεν ἐκ τῆς γαστρὸς· αὕτη δ' ἀνασχοῦσα τὰς χεῖρας ἤυξατο μήτε παρὰ ζῶσι, μητ' ἐν νεκροῖς φανῆναι· καὶ αὐτὴν ὁ Ζεὺς μεταβαλὼν ἐποίησε δένδρον, καὶ ἐκάλεν ὁμώνυμον αὐτῇ Σμύρναν· τοῦτο λέγεται κατ' ἔτος ἕκαστον δακρύειν τὸν ἀπὸ τοῦ ξύλου καρπὸν· καὶ Θείας μὲν ὁ πατὴρ τῆς Σμύρνης δὲ ἔργον ἀθέμιστον ἑαυτὸν ἀνεῖλε· τὸ δὲ βρέφος Διὸς βουλῇ τρεφόμενον, ὠνόμασαν Ἄδωνιν, καὶ αὐτὴν Ἀφροδίτη πλεῖστον ἠγάπησε δὲ τὸ κάλλος.

Λητὼ ἐπεὶ ἔτεκεν Ἀρπόλλωνα καὶ Ἄρτεμιν ἐν Ἀστερίᾳ τῇ νήσῳ ἀφίκετο εἰς Λυκίαν, ὑδιφερομένη τοὺς παῖδας ὑδὶ τὰ λουτρὰ τοῦ Ξάνθου· ⊂ ἐπεὶ τάχιστα ἐγένετο ἐν τῇ γῇ ταύτῃ, ἐνέτυχε πρῶτα μελίτῃ κρήνῃ. καὶ προεθυμεῖτο πρὶν ὑδὶ τὸν Ξάνθον ἐλθεῖν, ἐνταυθοῖ τοὺς παῖδας ἀπολοῦσαι· ἐπεὶ δ' αὐτὴν ἐξήλασαν ἄνδρες βουκόλοι, ὅπως ἂν αὐτοῖς οἱ βόες ἐκ τῆς κρήνης πίωσιν, ἀπαλλάττετο καταλιποῦσα τὴν μελίτην ἡ

Βουκόλοι. λέ.

Ιστορεῖ Μενεκράτης Ξάνθιος Λυκιακοῖς· καὶ Νίκανδρος.

τὴν ἡ Λητώ· λύκοι δὲ συναντόμενοι καὶ σήναντες, ὑφηγήσαντο τῆς ὁδοῦ, καὶ ἀπήγαγον ἄχρι πρὸς τὸν ποταμὸν αὐτὴν τὸν Ξάνθον. ἡ δὲ πιοῦσα τοῦ ὕδατος καὶ ἀχρλούσασα τοὺς παῖδας, τὸν μὲν ξάνθον ἱερὸν ἀπέδειξεν Ἀπόλλωνος, τὴν δὲ γῆν Τριμιλίδα λεγομένην, Λυκίαν μετωνόμασεν ἀχὸ τῶν καθηγησαμένων λύκων· ὑπὸ δὲ τὴν κρήνην αὖτις ἐξίκετο, δίκην ὑπεβαλοῦσα τοῖς ἀπελάσασιν αὐτὴν βουκόλοις· καὶ οἱ μὲν ἀπελούοντο ἔτι παρὰ τὴν κρήνην τοὺς βοῦς· Λητώ δὲ μεταβαλοῦσα πάντας, ἐποίησε βατραίχους· καὶ λίθῳ τραχεῖ τύπτουσα τὰ νῶτα καὶ τοὺς ὤμους, κατέβαλε πάντας εἰς τὴν κρήνην· καὶ βίον ἔδωκεν αὐτοῖς καθ' ὕδατος· οἱ δ' ἄχρι νῦν παρὰ ποταμοὺς βοῶσι καὶ λίμνας.

Πανδάρεος. λϛ'. Ἡ νίκα Ρέα φοβουμένη Κρόνον, κατέκρυψεν ἐν τῷ κευθμῶνι τῆς Κρήτης τὸν Δία, τότε αὐτὸν ἐξέθρεψεν αἴξ νύμφη μαστὸν ὀρέγουσα· τὴν αἶγα δὲ Ρέας βουλῇ κύων χρύσεος ἐφύλαττεν· ἐπεὶ δὲ Ζεὺς τιτῆνας ἐξελαύσας, τὸν Κρόνον ἀφείλετο τῆς ἀρχῆς, ἐποίησε τὴν μὲν αἶγα μεταβαλὼν ἀθάνατον· καὶ αὐτῆς ἔτι νῦν εἴδωλόν ἐστι ἐν τοῖς ἄστροις· τὸν δὲ κύνα τὸν χρύσεον ἀπέδειξε φυλάττειν τὸ ἱερὸν ἐν Κρήτῃ· τοῦτον Πανδάρεος ὁ Μέροπος κλέψας, ᾤχετο φέρων εἰς Σίπυλον· καὶ αὐτὸν παρεδέξατο φυλάττειν

παρὰ

παρὰ τοῦ Γανδαρέου, Τάνταλος ὁ Διὸς καὶ πλουτοῦς· ἐπεὶ δὲ μετὰ χρόνον Γανδάρεος ἐλθὼν εἰς Σίπυλον, ἀπῄτει τὴν κύνα, Τάνταλος ὤμοσε μὴ λαβεῖν. Ζεὺς δὲ Γανδάρεον μὲν ἀντὶ τῆς κλοπῆς ἐπρίησεν ὅθι περ εἱστήκει πέτρον. Τάνταλον δὲ ἐπεὶ τὴν ὅρκον ἐψεύσατο, κατέβαλε, καὶ περὶ αὐτὸν ὑπὲρ κεφαλῆς τὴν Σίπυλον.

Διομήδης μετὰ τὴν ἅλωσιν ἰλίου παραγενόμενος εἰς Ἄργος· Αἰγιάλειαν μὲν ἐμέμψατο τὴν γυναῖκα τὴν ἑαυτοῦ χάριν ἔργον Ἀφροδίτης· αὐτὸς δ' εἰς Καλυδῶνα τῆς Αἰτωλίας ἀφίκετο, καὶ ἀνέλεον Ἄγριον καὶ τοὺς παῖδας Οἰνεῖ τῷ πρόπατορι τὴν βασιλείαν ἀπεδίδωσιν· αὖτις δὲ πλέων εἰς Ἄργος ὑπὸ χειμῶνος εἰς τὸν Ἰόνιον ἐκφέρεται πόντον· ἐπεὶ δὲ παραγενόμενον αὐτὸν ἔγνω Δαύνιος ὁ βασιλεὺς ὁ τῶν Δαυνίων ἐδεήθη τὴν πόλεμον αὐτῷ συμπολεμῆσαι πρὸς Μεσσαπίους, ὑπὲρ μέρει γῆς καὶ γάμῳ θυγατρὸς τῆς ἑαυτοῦ· καὶ Διομήδης ὑποδέχεται τὴν λόγον· ἐπεὶ δὲ παραταξάμενος ἐτρέψατο τοὺς Μεσσαπίους, καὶ ἔλαβε τὴν γῆν, ταύτην μὲν Δωριεῦσιν ἔνειμεν τοῖς σὺν αὐτῷ· δύο δὲ παῖδας ἐκ τῆς θυγατρὸς ἔσχε τῆς Δαυνίου Διομήδη καὶ Αμφίνομον· τελευτήσαντα δ' αὐτὸν κατὰ γῆρας ἐν Δαυνίοις, ἐκτέρισαν

Δωριεῖς. λξ'.

οἱ Δω-

οἱ Δωριεῖς ἐν τῇ νήσῳ, ⊂ ὠνόμασαν αὐτὴν Διομήδειαν· αὐτοὶ δ' ἐγεώργουν ἣν ἐδάσαντο παρὰ τοῦ βασιλέως γῆν, καὶ αὐτοῖς ἐξέφερε πλεῖστον καρπὸν, κατ' ἐμπειρίαν γεωργικῶν ἔργων· Δαυνίου δ' ἀφθανόντος ἐπεβούλευσαν Ἰλλυριοὶ βάρβαροι κατὰ φθόνον αὐτῶν τῆς γῆς· καὶ ἀνεῖλον ἐν τῇ νήσῳ πάντας ἐντομαθύοντας, ὑπιφανέντες ὅτι Ἰλλυριοὶ τοῦ Δωριεῖς· Διὸς δὲ βουλῇ τὰ σώματα μὲν ἠφανίσθη τῶν Ἑλλήνων· αἱ ψυχαὶ δὲ μετέβαλον εἰς ὄρνιθας· καὶ ἔτι νῦν ἑλληνικὴ μὲν ἐπὰν καθορμίσηται ναῦς, φοιτῶσι πρὸς αὐτοὺς οἱ ὄρνιθες· Ἰλλυρικὴν δὲ φεύγουσι ναῦν, καὶ ἀφανίζονται πάντες ἐκ τῆς νήσου.

Λύκος. λή. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α'.

Αἰακῷ τῷ Διὸς καὶ Αἰγίνης τῆς Ἀσωποῦ, παῖδες ἐγένοντο Τελαμὼν καὶ Πηλεὺς καὶ τρίτος Φῶκος ἐκ Ψαμαθῆς τῆς Νηρέως· τοῦτον ἐφίλησε περισσῶς Αἰακὸς, ὅτι καλὸς κἀγαθὸς ἦν ἀνὴρ· Πηλεὺς δὲ ⊂ Τελαμὼν φθονήσαντες αὐτῷ, κτείνουσι θανάτῳ κρυφαίῳ, ⊂ διὰ τοῦτ' ἐξελαθέντες ὑπ' Αἰακοῦ τὴν Αἴγιναν ἐξέλειπον· ᾤκησε δὲ Τελαμὼν μὲν Σαλαμῖνα τὴν νῆσον· Πηλεὺς δ' ἐξίκετο πρὸς Εὐρυτίωνα τὸν Ἴρου· καὶ ἱκέτευσας καθαίρεται παρ' αὐτῷ τὸν φόνον· καὶ αὖτις Εὐρυτίωνα ἐν κυνηγεσίοις ἄκων ὑπὸ συὸς βολῇ κτείνει· καὶ φυγὸν ἔρχεται παρὰ Ἄκαστον,

οὗ ὑπὸ

ἔ ζωὸ τῆς γυναικὸς πρὸς ἀφροδίσιον ὄργον κα ταλείπεται μόθ ὃ ἀ τῷ Ηλίῳ· καὶ πλαζόμενθ ἀ τυγχάνει χέρονι τῷ Κενταύρῳ. ἵκετ θυονται ὃ κῶν ζωοδέχεται ἐκεῖνθ εἰς τὸ αὔτρον· καὶ Πυλοῦς ἀγείρασ πολλὰ πρόβατα καὶ βόες, ἄγ ἐ πρὸς τὸν Ἴ ρον κ̄ ποινὴν τ̄ φόνο· ταύτην ὃ χ ζωοδέχεται πλὴν ποινὴν ὁ Ἴ ρθ· ἀλλὰ Ηλοῦς ἀπαγαγὼν, ἀφίκετ κ̄ χρησμὸν λαβὼν· καὶ τὰ πρόβατα νομίων ὄρνιμα λύκος ἐπελθὼν κατέδ φ· καὶ ὁ λύκος ἔτθ κ̄ δαίμονα μεταβαλὼν, ἐγλυέ πέτρθ· ☾ ἄχρι πλείστου διέμενε μεταξὺ Λοκρίδθ καὶ τῆς Φωκέων γῆς.

Ἀρκεοφῶν ὁ Μιννυείδ, πόλεως μ̄ ἰῶ Σαλαμῖνθ τῆς ἀ Κύπρῳ· γενέων ὃ ὀκ ὠὼφανῶν, ἦεν γὰρ ἐκ Φοινίκης· χήμασι ὃ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ πλεῖστον ὑπερῴγεκεν. ἔτ ἰδὼν τ̄ θυγατέρα πὼ Νικοκρέοντος τ̄ Σαλαμινίων βασιλέως, ἠράθη· γεί ὃ δ' ἰῶ τ̄ Νικοκρέοντ ἀφ' Τύκρα τὴν ξωνελόντ Ἰλιολ Ἀγαμέμνονι· π̄ ὃ καὶ μᾶλλον ὁ Ἀρκεοφῶν ἐφίετ τὸν γάμον τῆς παιδὸς· κ̄ ὑπέχετ πλείστα π̄ ἀ τοῦ ἄλλας μνηστῆρας ἀποίσειν ἕδνα· Νικοκρέων δ' ὀχ ζωοδέχετ τὸν γάμον κατ' αἰχύνην γένες τὸ Ἀρκεοφῶντος, ὅτι αἰ τῷ πατέρες ἦεν Φοίνικες. Ἀρκεοφῶντι δ' ἀφ τυγχα-

Ἀρκεοφῶν. λθ'.

Ἱστορῆ Ἑρμησιάναξ Λεοντίῳ 6ῳ.

νομένῳ πρὸς τὸν γάμον, πολὺ χαλεπώτερος ἦν ὁ ἔρως· καὶ νυκτὸς ὑπὲρ τὰ οἰκία τῆς Ἀρσινόης ἐφοίτα, καὶ διενυκτέρευσε μετὰ τῶν Ἡλικιωτῶν· ἐπεὶ δὲ αὐτῷ πρὸς τὸ ἔργον οὐδὲν ἐτυγχάνετο, πείθει τροφὸν ἑαυτοῦ, καὶ πλεῖστα δῶρα πέμψας, ἐπειράθη τῆς παιδὸς, εἴπως αὐτῷ δυνάιτο κρύφα μιχθῆναι τῶν γονέων· ἡ δὲ παῖς ἐπεὶ τὸν λόγον ἡ τροφὸς αὐτῇ προσήνεγκε, κατεμήνυσε πρὸς τοὺς γονέας· οἱ δὲ γλῶσσαν ἄκραν, καὶ ῥῖνα καὶ δακτύλους ἀκρωτεμόντες τῆς τροφοῦ· καὶ χροβησάμενοι ἀνοικτρῶς, ἐξήλασαν ἐκ τῶν οἰκιῶν· καὶ πρὸς τὸ ἔργον ἐνεμέσησεν ἡ θεὸς· Ἀρκεοφῶν μὲν οὖν καθ' ὑπερβολὴν πάθους καὶ ὑποψίαν τῆς πρὸς τὸν γάμον ἑκὼν ἀποθνήσκει κατὰ τροφῆς ἐνδείαν· οἱ δὲ πολῖται τὸν θάνατον οἰκτείραντες ἐπένθησαν· ἡμέρᾳ δὲ τρίτῃ τὸ σῶμα προήνεγκαν εἰς ἐμφανὲς οἱ προσήκοντες. καὶ οἱ μὲν ἔμελλον κηδεύσειν. Ἀρσινόη δὲ πρὸς ὕβριν ἐπεθύμησεν, ἐκ τῶν οἴκων ἐκκύψασα τὸ σῶμα τὸ τοῦ Ἀρκεοφῶντος κατακαιόμενον ἰδεῖν· καὶ ἡ μὲν ἐθεᾶτο· μισήσασα δὲ τὸ ἦθος Ἀφροδίτη, μετέβαλεν αὐτὴν καὶ ἐποίησεν ἐξ ἀνθρώπου λίθον, καὶ τοὺς πόδας ἐρρίζωσεν τῶν τὴν γῆν.

Βριτόμαρτις. μ'. Κασσιεπείας τῆς Ἀραβίου καὶ Φοίνικος τοῦ ἀγήνορος ἐγένετο Κάρμη· ταύτῃ μιγεὶς Ζεὺς, ἐγέννησε Βριτόμαρτιν· αὕτη φυγοῦσα τὴν ὁμιλίαν τῶν ἀνθρώπων,

ἀνθρώπων, ἠγάπησεν ἀεὶ παρθένος εἶναι. Ὁ
παρεγένετο πρῶτα μὲν Ἄργος ἐπὶ Φορωνικῆς,
πρὸ τῆς Ἐρασίνου θυγατέρας Βύζιον καὶ Με-
λίτην, καὶ Μάιραν, καὶ Ἀγχιρόην· ἔπειτα δ'
ἐπὶ τοῦ Ἄργους εἰς Κεφαλληνίαν ἀνέβη, Ὁ αὐτὴν
ὠνόμαζον οἱ Κεφαλλῆνες, λαφείαν· καὶ ἱερὸν
ἤγαγον ὡς θεῷ· ἔπειτα βρέχεται εἰς Κρήτην,
καὶ αὐτὴν ἰδὼν Μίνως καὶ ἐραστὴς, ἐδίωκεν· ἡ
δὲ κατέφυγε πρὸ αἰσθήσεως ἁλιείας· οἱ δὲ αὐτὴν
κατέθυσαν εἰς τὰ δίκτυα, καὶ ὠνόμασαν ἐκ
τούτου Κρῆτες Δίκτυνναν, Ὁ ἱερὰ προσιώγε-
καν. ἐκφυγοῦσα ὑπὸ Μίνωα, ὑβρίσετο ἡ Βριτό-
μαρτις εἰς Αἴγιναν σὺν πολλῷ σωρῷ ἀνδρῶν ἁλιέων
Ἀνδρομήδης· καὶ ὁ μὲν αὐτὴν ἐπεχείρησεν ὀρεγό-
μενον μιαθῆναι· ἡ δὲ Βριτόμαρτις ἀκροβᾶσα ἐκ
τοῦ πολοῦ κατέφυγεν εἰς ἄλσος, ὅπερ ὄπιθεν ὑπῆν
αὐτῆς τὸ ἱερὸν, κἀνταῦθα ἐγλύφῃ ἀφανὴς, Ὁ
ὠνόμασαν αὐτὴν Ἄφαιαν· ὃν δὲ τῷ ἱερῷ τῆς
Ἀρτέμιδος τὸν τόπον ὃν ᾧ ἀφανὴς ἐγλύφῃ ἡ
Βριτόμαρτις, ἀφιέρωσαν Αἰγινῆται, Ὁ ὠνό-
μασαν Ἀφαίαν· καὶ ἱερὰ ἐτελέσαν ὡς θεῷ.

Κέφαλος ὁ Δηΐονος ἔγημεν ὑπὸ Θορικῷ τῆς Αλφάβητος.
Ἀττικῆς Πρόκριν τὴν θυγατέρα τὴν Ἐρεχθέως· μά-
λιστα δὲ ὁ Κέφαλος νέος καὶ καλὸς καὶ εὐ-
ρύθμος· ἐραστὴς ἦν δὴ τοῦ καλοῦ ἥρπασεν αὐτὸν
Ἠὼς, ἢ ἐπτοήσατο ζωοικὸν· τότε δ' οὖν ὁ Κέφαλος

ἐπειρᾶτο τῆς Πρόκριδος εἰς συμμιξίαν ἀδιάφθορος αὐτῷ ἐθελήσαι· καὶ αὐτὸς μὲν καθ' ὑπνον πόφασιν ἐσκήψατο εἰς ἄγρας ἰέναι· Πρόκριδι δὲ εἰσαπέστειλεν ἄνδρα ὀικέτην ἀγνῶτα φέρονα χρυσὸν κῶλον· μὴ αὐτὸν ἐδίδασκε λέγειν πρὸς τὴν Πρόκριν, ὅτι ἀνήνεγκεν ἔρωτος εἰς δίδοῦ τὸ τὸ χρυσίον, εἰ αὐτῷ συγγένοιτο· ἡ δὲ Πρόκρις τὸ μὲν πρῶτον ἀπολέγεσθαι, ὡς χρυσὸν ἐπεὶ ὑ δίκαιον εἰσέπεμψε, ὁμολογεῖ καὶ προσδέχεται τὸν λόγον, ὁ δὲ κέφαλος ὅτε αὐτὴν ἔγνω πεληθόσαν εἰς τὸν οἶκον, καὶ καταπλησίσαν ὡς πρὸς τὸν ξένον, * δόδα παιμμίλια πρίνεγκον καὶ καταφώρεσεν αὐτήν· Πρόκρις ὑ καταλιποῦσα τὸν Κέφαλον ὑπ' αἰσχύνης, ὥχετο φθύγουσα πρὸς Μίνωα τὸν βασιλέα τῆς Κρήτης· καταλαβοῦσα δ' αὐτὸν ἐχόμενον ὑπ' ἀτεκνίας ὑπηχεῖτο μὴ ἐδίδασκεν τὸν πρόσωπον αὐτῷ, ὄφις καὶ σκορπίος καὶ σκολυτένορας, εἰ γένοιντο παῖδες· ὁ γὰρ Μίνως ἔρεσκεν· καὶ ἀπέθνησκεν αἱ γυναῖκες ὅσαις ἐμίγνυτο· Πασιφάην δ' ἐκ Ἡλίου θυγάτηρ ἀθάνατος· ἦν δ' οὖν Πρόκρις ὠδὶ τῇ γονῇ τῷ Μίνωος, μηχανᾶται τοιόνδε· κύστιν αἰγὸς ἐνέβαλεν εἰς γυναικὸς φύσιν, καὶ ὁ Μίνως οὖν ὄφεις πρότερον ἐξέκρινεν εἰς τὴν κύστιν· ἔπειτα δὲ πρὸ τῆς Πασιφάης εἰσιὼν, ἐμίγνυτο· καὶ ἐπεὶ αὐτοῖς ἐγένοντο παῖδες, ὁ Μίνως

δίδοῖ

δηδοῖ τῇ Πρόκριδι δ'ν ἄκοντα καὶ δ'ν κυνα. τότος δὲ οὐδὲν ἐξέφυγε θηρίον, ἀλλὰ πάντα ἐχειρωῦτο· καὶ ἡ Πρόκρις δεξαμένη, ἀφίκετο εἰς Θορικὸν τῆς Ἀτθικῆς, ὅπου ὤκει ὁ Κέφαλος. Ὁ συ αὐτῷ ἐκοινωνήσατο, ἐξαλλαξασα τὸν ἐαθῆτα, καὶ τὸν κυρὰν τῆς κεφαλῆς εἰς ἄνορα. καὶ ὐδεὶς αὐτὸν ἰδὼν ἐγνώρισε. Κέφαλος δ' ἰδὼν ὅτι αὐτῷ μὲν ὐδὲν ἐπετύγχανε τὴν πρὸς τὸν θήραν, ἅπαντα δ' ξυνέφερε πρὸς τὴ Πρόκριν, ἐπεθύμησεν αὐτὸς ὃν ἄκοντα τὸν λαβεῖν. Ὁ προσυπέχετο δώσειν, εἰ αὐτῆ τῆς ὥρας ἐθελήσαι τῆς ἑαυτῦ χαρίσασθαι. ὁ δὲ Κέφαλος παρέχεται τὸν λόγον, καὶ ὅτε κατεκλίνησαν ὑπὲρ φήνων ἑαυτῷ ἡ Πρόκρις, καὶ ὠνείδισε τὸν Κέφαλον, ἢ αὐτὸς πολὺ ἄμεινον ὑπαμάρτοι. Καὶ τὸν μὲν κύνα καὶ τὸν ἄκοντα λαμβάνει Κέφαλος· ἀμφιτρύων δ' χθίζων τὸν κυνὸς, ὑπέκετο πρὸς τὸν Κέφαλον, εἶγε ἐθελήσειεν ἅμα αὐτῷ ἰδεῖ τὸν Ἀλφέπεκα βλῦσαι σὺν τῷ κυνὶ, καὶ ὑπέσχετο τῆς λέσε ἀμφιτρύων ἀφήσειν τῷ Κεφαλῷ τὸν μοῖραν, ἣν ἂν ἐκ τῆν πηλεβόων λάβη· ἐφαίνη γὰρ οὐ χρόνῳ τότῳ Καδμείοις ἀλώπηξ, χῆμα ὑπερμεγεθὲς· αὐτὴ συνεχῶς ἐκ τῆ Θυμησσῆ κατιῦσα, πολλάκις τῶν Καδμείων ἥρπαζεν· καὶ αὐτῇ πεύθησαν παιδίον ἀφ' πεντακοσῆς ἡμέρας· ἡ δὲ κατήθιε

λαμβάνουσα, καὶ ἐπειδὴ Αμφιτρύωνος ἰόντος ἐδεήθη Καδμείων ὑπὲρ τηλεβόας αὐτῷ συστρατεῦσαι, καὶ οἱ δ' οὐκ ἔφασαν εἰ μὴ αὐτοῖς τὴν ἀλώπεκα συνεξέλοι συντίθεται Αμφιτρύων ὑπὲρ τούτοις πρὸς τοὺς Καδμείους· καὶ ἐλθὼν πρὸς τὸν Κέφαλον, ἔλεγεν τὴν συνθήκην. καὶ ἐπεὶ θε βῆναι εἰς ἆσσον τῷ κυνὶ· ὁ δὲ Κέφαλος ἀσπάζεται, καὶ ἐλθὼν κυνηγετεῖ τὴν ἀλώπεκα, ἣν δὲ θεμιτὸν, οὔτε τὴν ἀλώπεκα καταληφθῆναι ὑπό τινος διώκοντος· οὐδὲ τὸν κύνα ἐκφυγεῖν διωκόμενον οὐδὲν· ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ πεδίῳ τῶν Θηβαίων, Ζεὺς ἰδὼν, ἐποίησεν ἀμφοτέρους λίθους.

Τέλος τῆς Ἀντωνίνου Λιβέραλις Μεταμορφώσεων συναγωγῆς.

ΦΛΕ-

ΦΛΕΓΟΝΤΟΣ ΤΡΑΛ-
λιανοῦ ἀπελευθέρου καίσαρος περὶ θαυμασίων καὶ μακροβίων.

* * *

Ἐλλείπει τινά.

εἰς τὴν ξενῶνα προσπορεύετο ταῖς θύραις, καὶ καιομένου τοῦ λύχνου, καθημένην ἴδεν τῆς ἄνθρωπον πρὰ τῷ Μαχάτῃ· οὐκ ἔτι δὲ καρτερήσασα πλείονα χρόνον δὲ τὸ θαυμαστὸν τῆς φαντασίας, τρέχει πρὸς τῆς μητέρα, καὶ βοήσασα μεγάλῃ τῇ φονῇ, Χαριτοῖ καὶ Δημόστρατε, ᾤετο δεῖν ἀναστάντας, καὶ τῆς θυγατέρα αὐτοὺς μετ' αὐτῆς πορεύεσθαι· πεφηνέναι τὴν ζῶσαν, εἶναί τε μετὰ τοῦ ξένου διαί τινα θείαν βούλησιν ἐν τῷ ξενῶνι· τῆς δὲ χαριτοῦς πρᾶδοξον λόγον ἀκούσης, συνέβη τὴν ψυχὴν τὸ μὴ πρῶτον ἐκπλαγῆ γενομένην ἐκλυθῆναι, διὰ τὸ μέγεθος τῆς ἀγγελίας καὶ διὰ τὴν ταραχὴν τῆς τροφοῦ· μετὰ μικρὸν δὲ μνησθεῖσαν τῆς θυγατρὸς, κλαίειν· τὰ δὲ ἔσχατα καταγνῶναι τῆς πρεσβύτιδος μανίαν, κελεύειν τε ἀπαλλάττεσθαι ἀπ' αὐτῆς ταχέως· ὀνειδιζούσης δὲ τῆς τροφοῦ, καὶ λεγούσης μετὰ παῤῥησίας, ὡς μὴ

φονεῖ τε καὶ ὑγιὴς ὄσιν· εἰ δ' ὅτι νον ὁ βάλοιτο πῶ ἰδίαν θυγατέρα ἰδεῖν, μόλις ἡ Χαριτὼ τὸ μὲν βιαθεῖσα ἔτω τῆς τροφῆς, τὸ δ' ἑαυτῆς βουλομένη τὸ συμβεβηκός, παραγίνεται πρὸς τὰς θύρας τοῦ ξενῶνος, δεῖ τὸ γεγονέναι τοσοῦτον χρόνον, ὡς ἂν δ' αὐτὸς ἀγγελίας ἔμπεσε μεσημβρίας, ὀψὲ ποτε ἦκεν ἡ Χαριτώ· Διὸ ἐμέλλησεν ἐκείνης μὲν ἥδη ἀναπαύεσθαι. Ἀνακύψασα δ' οὖν ἡ μήτηρ τὰ μὲν ἱμάτια, καὶ τὸν τύπον τῆς ὄψεως, ἐνόμιζεν ἐμὴν γνώσκειν· πῶ δὲ ἀληθείαν ἐξετάζει κατ' ὀδένα τρόπον δυναμένη, πῶ ἡσυχίαν ἦγετο δεῖν ἔχειν. πρῴ γὰρ ἤλπιζεν ἀναστᾶσα, κατα λήψεσθαι πῶ ἄνθρωπον· ἐὰν δ' ὑστερήσῃ, διερωτήσειν τὸν Μαχαίτην πρὸ πάντων· ὁ γὰρ ἂν ποτε φθάσαι τηλικοῦτον πρᾶξιν ἐρωτώμενον αὐτὸν· διόπερ σιωπήσασα, ἀπῆλθεν· Ὄρθρος δὲ γενομένης, πῶ μήτε δῆ θείαν βάλησιν, εἴτε κατ' αὐθομαδισμὸν λαθοῦσαν, ἀπελθεῖν σπεύδει. τῇ δ' παραγινομένῃ δῆ τῇ ἀπολύσιν δυσφορεῖν τῷ νεανίσκῳ· ἡ τῷ ξένῳ πάντα ἐξ ἀρχῆς ἐξηγησαμένῳ, ἀξιοῖ περὶ τὰ γόνατα πεσὼν τοῦ Μαχάτου, πῶ ἀληθῆ εἰπεῖν, μηδὲν ἀκριβολογούμενον· ὁ δὲ νεανίσκος ἀγανακτήσας, πῶ ἀρχῆ μὲν διεταράχθη· μόλις δέ ποτε τὸ ὄνομα διεσάφησεν, ὅτι Φιλίννιον εἴη· καὶ πῶ ἀρχῆ διηγήσατο τὴν εἰσόδου

εἰσόδου, καὶ τὴν ἐπιθυμίαν αὐτῆς ἐδήλωσεν ὡς ἥκει, ὅτι λάθρα τῶν γεννησάντων ἔφη παραγίνεσθαι πρὸς αὐτόν· τά τε ὑπολειμμένα ὑπὸ τῆς ἀνθρώπου βουλόμενος ποιῆσαι τὸ πρᾶγμα πιστὸν, ἀνόιξας τὸν ῥίσκον, ἐξαιρεῖ τόν τε δακτύλιον τὸν χρυσοῦν, ὃν ἔλαβε παρ' αὐτῆς, καὶ τὴν στηθοδεσμίδα, ἣν ἀπελελοίπει τῇ πρότερον νυκτὶ· ὡς δὲ εἶδεν ἡ Χαριτώ τηλικαῦτα σημεῖα, ἀναβοᾷ, καὶ διαῤῥήξασα ἑαυτῆς τά τε ἐνδύματα καὶ τὸ ἱμάτιον, ἀπό τε τῆς κεφαλῆς ῥίψασα τὸν κεκρύφαλον, πεσοῦσαί τε εἰς τὴν γῆν, καὶ περιχυθεῖσα τοῖς γνωρίσμασιν, ἐξ ἀρχῆς ἐποιεῖτο πένθος. Θεωρῶν δὲ ὁ ξένος τὸ γινόμενον, καὶ πάντας ὄντας ὑπερπαθεῖς, καὶ θρηνοῦντας, ὡσανεὶ νῦν μέλλοντας κατορύττειν τὴν ἄνθρωπον, συνεχεῖτο, καὶ παρεκάλει δεόμενος παύσασθαι· ἐπαγγελλόμενος ἐὰν παραγένηται, δείξειν αὐτήν· ἡ δὲ πεισθεῖσα, καὶ ἐντειλαμένη αὐτῷ φροντίσαι μὴ παρέρχος τῶν ἐπηγγελμένων, ἀπελύθη πρὸς αὐτήν. Νυκτὸς δὲ ἐπιγενομένης καὶ τῆς ὥρας οὔσης καθ' ἣν ἡ Φιλίννιον εἰώθει παραγίνεσθαι πρὸς αὐτόν· οἱ μὲν προσετήρουν, εἰδῆσαι θέλοντες τὴν ἄφιξιν· ἡ δὲ ἧκεν· εἰσελθούσης δὲ κατὰ τὸν εἰθισμένον καιρὸν, καὶ καθεζομένης ἐπὶ τὴν κλίνην, οὐδὲν προσποιηθεὶς ὁ Μαχάτης, ἐξετάσαι δὲ τὸ πρᾶγμα

βουλόμενος, τὸ πλέον οὐ πιστεύων, εἰ νεκρᾷ πλη-
σιάζοι, οὕτως ἀδιμελῶς πραγινομένῃ κατὰ τὸν
αὐτὸν καιρὸν, ἔτι δὲ δειπνούσης μετ' αὐτοῦ, καὶ
συμπινούσης, ἀπίστως εἶχεν οἷς ἐκεῖνοι προήγγει-
λαν· ᾤετο δὲ νεκροῤῥύκτας τινὰς διωρυχέναι τὸ
τάφον, καὶ πεπρακέναι τὰ ἱμάτια καὶ τὰ
χρύσια τοῦ πατρὶ τῆς ἀνθρώπου· βουλόμε-
νος οὖν τὴν ἀκρίβειαν εἰδῆσαι, πέμπει τοὺς
παῖδας λάθρα καλοῦντας αὐτούς· ταχέως
δὲ πραγενομένων τοῦ τε Δημοστράτου καὶ τῆς
Χαριτοῦς, ἰδόντων τὲ αὐτὴν καὶ γενομένων
τὸ μὲν πρῶτον ἀφώνων τὲ καὶ ἐκπλαγῶν διὰ
τὸ πράδοξον τῆς ὄψεως, ὕστερον δὲ ἀναβοησάντων
μέγα, καὶ περιπεσόντων τῇ θυγατρί· τότε ἡ
» Φιλίννιον τοσαῦτ' εἶπεν αὐτοῖς. Ὦ μῆτερ καὶ
» πάτερ, ὡς ἀδίκως ἐφθονήσατέ μοι μετὰ τοῦ
» ξένου ἐπὶ τρεῖς ἡμέρρας γενέσθαι ἐν τῇ πα-
» τρῴᾳ οἰκίᾳ λυποῦσαν οὐδὲν· τοιγαροῦν ὑ-
» μεῖς μὲν πενθήσετε ἐξ ἀρχῆς, διὰ τὴν πο-
» λυπραγμοσύνην· ἐγὼ δὲ ἄπειμι πάλιν εἰς
» τὸν διατεταγμένον τόπον. Οὐ γὰρ ἄνευ θείας
» βουλήσεως ἦλθον εἰς ταῦτα. Τοσαῦτα εἰποῦ-
σα, πραχρῆμα ἐγένετο νεκρὰ, ἐξετέτατό τε
ἐπὶ τῆς κλίνης ἐμφανὲς τὸ σῶμα· τῆς δὲ μη-
τρὸς περιχυθείσης, καὶ τοῦ πατρὸς περὶ αὐτὴν,
καὶ θορύβου πολλοῦ καὶ θρήνου κατὰ τὴν
οἰκίαν

οἰκίαν γενομένου διὰ τὸ πάθος, ὡς ἀνηκέστου γεγονότος θεάματος, ἅμα τε ἀπίστου συμπτώματος, ταχέως ἐγένετο δὲ πόλεως τὸ πρᾶγμα περιβόητον, καί μοι προσηγγέλη. Τὴν μὲν οὖν νύκτα ἐκείνην διακατέσχον ἐγὼ τοὺς ὄχλους, ἀθροιζομένους ἐπὶ τὴν οἰκίαν, εὐλαβηθεὶς μήτις εἴη νεωτερισμὸς, διαδεδομένης τοιαύτης φήμης· ὄρθρου δὲ βαθέος πλῆρες ἦν τὸ θέατρον. Ῥηθέντων δὲ πάντων κατὰ μέρος, ἔδοξεν πρῶτον εἰσελθεῖν ἐπὶ τὸν τάφον ἡμᾶς, καὶ ἀνοίξαντας εἰδῆσαι, πότερον εἴη τὸ σῶμα ἐπὶ τῆς κλίνης, ἢ κενὸς τόπον εὑρήσομεν· οὐδὲ γὰρ ἐξαίμηνος ἐγεγόνει τῷ θανάτῳ τῆς ἀνθρώπου· ἀνοιχθείσης δὲ ὑφ' ἡμῶν τῆς καμάρας, εἰς ἦν πάντες οἱ οἰκεῖοι μεταλλάσσοντες ἐτίθεντο, ἐπὶ μὲν τὴν ἄλλων κλινῶν ἐφαίνη τὰ σώματα κείμενα, τὴν δὲ παλαιτέρων τετελευτηκότων τὰ ὀστᾶ· ἐπὶ μόνης δὲ ἧς ἡ φιλίννιον ἐτέθη καὶ συνέβη ταφῆναι, εὕρομεν ὑπικείμενον τὸν δακτύλιον τὸν σιδηροῦν, ὃς ἦν τοῦ ξένου, καὶ τὸ χρυσόκλυστον ποτήριον, ἅπερ ἔλαβε παρὰ τοῦ Μαχαίτου τῇ προτῇ τὴν ἡμέρων· θαυμαίσαντες δὲ καὶ ἐκπλαγέντες, εὐθέως παραγενόμεθα πρὸς τὸν Δημόστρατον εἰς τὸν ξενῶνα, ὀψόμενοι τὴν νεκρὰν εἰ κατ' ἀλήθειαν ἐμφανής ἐστιν· ἰδόντες δὲ χαμαὶ κειμένην,

εἰς τὴν

εἰς τὴν ἐκκλησίαν ἠθροιζόμεθα· τὰ γὰρ γεγονότα μεγάλα τέλεῦ καὶ ἄπιστα. Θορύβου δὲ ὄντος νεανικοῦ κατὰ τὴν ἐκκλησίαν, καὶ σχεδὸν οὐδενὸς δυναμένου κρῖναι τὰ πράγματα, πρῶτος ὕλλος ὀνομαζόμενος πρὸς ἡμῖν, οὐ μόνον μάντις ἄριστος, ἀλλὰ καὶ οἰωνοσκόπος κομψὸς εἶναι, τά τε ἄλλα συνεωρακὼς ἐν τῇ τέχνῃ περιττῶς, ἀναστὰς ἐκέλευεν τὴν μὲν ἄνθρωπον, κατακλείειν ἐκτὸς ὁρίων, (οὐ γὰρ συμφέρειν ἔτι ταύτην ἐντὸς ὁρίων τεθῆναι εἰς γῆν· ἀπεστρωπιάσασθαι δὲ Ἑρμῆν χθόνιον καὶ Εὐμενίδας·) εἶτα οὕτω περικαθαίρεσθαι πάντας· ἁγνίσαι δὲ καὶ τὰ ἱερά, καὶ ὅσα θεοῖς χθονίοις νομίζεται ποιεῖσθαι συνέτασσεν· ἐμοί τε ἰδίᾳ εἶπεν περὶ τοῦ βασιλέως καὶ τῶν πραγμάτων, θύειν τε Ἑρμῇ, Διί τε Ξενίῳ καὶ Ἄρεϊ· καὶ συντελεῖν ταῦτα μὴ πρόρρως. Ταῦτα δὲ ἀπεφηναμένου τούτου, τὸ μὲν συνταχθὲν ἡμεῖς ἐπράττομεν· ὁ δὲ ξένος ὁ Μαχάτης, πρὸς ὃν παρεγίνετο τὸ φάσμα, ὑπ' ἀθυμίας ἑαυτὸν ἐξήγαγεν τοῦ ζῆν· ἐὰν οὖν σοι φαίνηται περὶ τούτων γράφειν τῷ βασιλεῖ, ἐπίστειλον κἀμοί, ἵνα καὶ τῶν σωμάτων τινὰ τῶν ἱστορούντων τὰ κατὰ μέρος, ἐξαποστείλω σοι. ἔρρωσο.

Ἱστορεῖ δὲ καὶ Ἱέρων ὁ Ἀλεξανδρεὺς ἢ Ἐφέσιος, καὶ ἐν Αἰτωλίᾳ φάσμα γενέσθαι· Πολύκριτος

κριτος γαρ τις τῆς πολιτῆς, ἐχειροτονήθη ὑπὸ τοῦ δήμου Αἰτωλάρχης, ὡδὶ τρία ἔτη τὴν πολιτῆς αὐτὴν ἀξιωσάντων, διὰ τὴν ὑπάρχουσαν ἐκ προγόνων καλοκἀγαθίαν· ὧν δὲ ἐν τῇ ἀρχῇ ταύτῃ ἄγεται γυναῖκα Λοκρίδα, καὶ συγκοιμηθεὶς τρισὶ νυξὶ, τῇ τεταρτῃ τὸν βίον ἐξέλιπεν· ἡ δὲ ἀνθρωποθ ἐμεινεν ἐν τῇ οἰκίᾳ χηρεύουσα· ἐνίκα δὲ ὁ τοκετὸς, ἔπειχεν, ἔτεκε παιδίον, ἀίδοια ἔχον δύο ἀνηρθεωντε καὶ γυναικεῖον, διὰ τὴν φύσιν θαυμαστῶς διπλασιμένον· τὰ μὲν ἄνω τοῦ αἰδοίου ὁλόκληρά τε καὶ ἀνηρώδη ἰῶ· τὰ δὲ κάτω τοῦ μηρὸς, γυναικεῖα καὶ ἀπαλώτερα· ἐφ' ᾧ καταπλαγέντες οἱ συγγενεῖς, ἀπέπεμψαν εἰς τὸ ἀγρὸν τὸ παιδίον, μὴ συναγαγόντες τὴν ἐκκλησίαν ἐβουλεύοντο περὶ αὐτοῦ· θύτας τε καὶ τραπεζοκόπους συγκαλέσαντες· τῶν δὲ οἱ μὲν ἀποφαίνουν διάσασίν τινα τῆς Αἰτωλῶν καὶ Λοκρῶν ἔσεσθαι· κενοφωνίαν γὰρ ἀπὸ μητρὸς ὅσης Λοκρίδος, καὶ πατρὸς Αἰτωλοῦ· δεῖν δ' ὤοντο, τὸ παιδίον μὴ τὴν μητέρα ἀποτινεγκόντας εἰς τὴν ὑπερορίαν, κατακαῦσαι. Ταῦτα δὲ αὐτῶν βουλομένων, Ἰδαίφιλος φαίνεθ ὁ Πολύκριτος ὁ προτεθνηκὼς ἐν τῇ ἐκκλησίᾳ, πλησίον τοῦ τέκνου, ἔχων ἐσθῆτα μέλαιναν· τὴν δὲ πολιτῆν καταπλαγέντων ὡδὶ τῇ φαντασίᾳ, καὶ πολλῶν εἰς φυγὴν

γὴν τραπομένων, παρεκαλέσε τοὺς πολίτας θαῤῥεῖν, καὶ μὴ ταράττεσθαι ἐπὶ τῷ γεγονότι φάσματι. Ἐπεὶ δὲ ἔληξε τὸ πλέον τοῦ θορύβου καὶ τῆς ταραχῆς, ἐφθέγξατο λεπτῇ τῇ φωνῇ τάδε. Ἐγὼ ἄνδρες πολῖται, τοῦ μὲν σώματι τέθνηκα, τῇ δὲ εὐνοίᾳ καὶ τῇ χάριτι πρὸς ἡμᾶς, ζῶ· καὶ νῦν πάρειμι πρὸς ὑμᾶς τοὺς κυριεύοντας τῶν κατὰ γῆν, ἐπὶ τοῦ συμφέροντι τοῦ ὑμετέρῳ· παρακαλῶ τοίνυν ὑμᾶς, πολίτας ὄντας ἐμοῦ, τοῦ μὴ ταράττεσθαι, μηδὲ δυσχεραίνειν, ἐπὶ τοῦ παραδόξῳ γεγονότι φάσματι· δέομαι δὲ ὑμῶν ἁπάντων κατευχόμενος πρὸς τῆς ἑκάστου σωτηρίας, ἀφροδοῦναί μοι τὸ παιδίον τὸ ἐξ ἐμοῦ γεγεννημένον, ὅπως μηδὲν βίαιον γένηται, ἄλλό τι βουλευσαμένων ὑμῶν· μὴ δ' ἀρχὴ πραγματῶν δυσχερῶν καὶ χαλεπῶν, διὰ τὴν πρὸς ἐμὲ φιλονεικίαν ὑμῖν γένηται· οὐ γὰρ ἐνδέχεταί με περιϊδεῖν κατακαυθέν τὸ παιδίον ὑφ' ὑμῶν, διὰ τὴν τῶν ἐξαγγελλόντων ὑμῖν μάντεων, ἀφροπληξίαν· συγγνώμην μὲν οὖν ὑμῖν ἔχω, ὅτι τοιαύτην ὄψιν ἀπροσδόκητον ἑωρακότες, ἀφρεῖτε πῶς ποτε τοῖς παρροῦσι πράγμασιν ὀρθῶς χρήσεσθε. Εἰ μὲν οὖν ἐμοὶ πεισθήσεσθε, ἀδεῶς τῶν παρόντων φόβων, καὶ τῶν ἐπερχομένων κακῶν, ἔσεσθε ἀπηλλαγμένοι. Εἰ δὲ ἄλλως πῶς τῇ

γνώμῃ

γνώμῃ προσπεσεῖσθε, φοβοῦμαι περὶ ὑμῶν, «
μήποτε εἰς ἀνηκέστους συμφορὰς ἀπειθοῦντες «
ἡμῖν ἐμπέσητε. Εἰὼ μὲν οὖν διὰ τὴν ὑπάρ- «
χουσαν εὔνοιαν, ὅτ' ἔζων καὶ νῦν ἀπροσδοκή- «
τως πρὸν, προείρηκα τὸ συμφέρον ὑμῖν. ταῦτ' «
οὖν ὑμᾶς ἀξιῶ, μὴ πλείω με χρόνον πρέλ- «
κειν, ἀλλὰ βουλευσαμένους ὀρθῶς, ⊂ πειθέν- «
τας τοῖς εἰρημένοις ὑπ' ἐμοῦ, δοῦναί μοι μετ' «
εὐφημίας τὸ παιδίον. Οὐ γὰρ εἰδ χεταί μοι «
πλείονα μηκύνειν χρόνον διὰ τοὺς κατὰ γὴν «
ὑπάρχοντας δεσπότας. Ταῦτα δὲ εἰπὼν,
ἡσυχίαν ἔσχεν ἐπ' ὀλίγον, καραδοκῶν ποίαν
ποτὲ ἐξοισουσιν αὐτοῦ γνώμην περὶ τῶν
ἀξιουμένων. τινὲς μὲν οὖν ᾤοντο δεῖν ἀφοδοῦναι
τὸ παιδίον, καὶ ἀφοσιώσασθαι τότε φασ-
μα, ⊂ τὸν ὑπιστάντα δαίμονα. οἱ δὲ πλεῖστοι
ἀντέλεγον, ὑπὸ σχολῆς δεῖν βουλεύσασθαι
φαίσκοντες ὡς ὄντος μεγάλου τοῦ πράγ-
ματος, καὶ οὐ τῆς τυχούσης αὐτοῖς ἀφ-
ρείας. Συνιδὼν δὲ αὐτοὺς οὐ προσέχοντας,
ἀλλ' ἐμποδίζοντας αὐτοῦ τὴν βούλησιν,
ἐφθέγξατο αὖθις τάδε. Ἀλλ' οὖν γε, «
ὦ ἄνδρες πολῖται, ἐὰν ὑμῖν συμβαίνῃ τὶ «
τῶν δυσχερεστέρων διὰ τὴν ἀβουλίαν, «
μὴ ἐμὲ αἰτιᾶσθε, ἀλλὰ τὴν τύχην τὴν οὕ- «
τως ὑπὸ τὸ χεῖρον ὑμᾶς ποδηγοῦσαν. «

ἥτις

» ἤπερ ἀνταπαμύνη κἀμοὶ, πρανομεῖν ἀναγκάζῃ
» μὲ εἰς τὸ ἴδιον τέκνον. Τὸν δ' ἄλλα σωφρονοῦν-
τος, μὴ τοῦτ' ἄρπιν τὸν τράλλεως ἔχθιστος, ὠθίλα-
βόμενος τὸ παιδίον, καὶ σὺν πλείστους αὐτὴν
ἀνείξας ἰταμώτερον, διέπασέ τε αὐτὸ καὶ
κατέκραιρε γυναῖκας ὁ γονομένης, καὶ λίθων ἐπ' αὐ-
τὸν ἐκριπτομένων, ὑπελαμβανον τροπὴν αὐτὸν
ποιήσασθαι. ὁ δ' ἀπολακτίζων ὑπὸ τῶν λίθων, τὸ
σῶμα πᾶν τὸ παιδίον κατανάλωσε πλὴν τῆς
κεφαλῆς, καὶ αὐτίκα ἀφανὴς ἐγένετο. Δηο-
φορουσῶν δ' αὐτὴν ὠδὶ τοῖς γονομένοις καὶ οὐ
χρείᾳ καθεκνώτων ἢ τὴν τυχόσαν βουλομέ-
νων τὰ χρεῖλαι εἰς Δελφὰς, φθέγγεται ἡ κε-
φαλὴ τὸ παιδίον ὠδὶ τῷ ἐδάφους κρημνῷ, καὶ
λέγει χρησμῷ τὰ ἀχρεκτόμενα.

Ὦ πολιοῦχον ναίων χθόνα λαὸς ἀπείρων,
Μὴ σεῖο ἐς Φοίβου τέμενος ναόν τε θυώδη,
Οὐ γάρ σοι καθαραὶ χεῖρες αἵματος αἰ-
θὲρ ἔχουσιν,
Ἀλλὰ μύσους πεπάρωσθε πολῶν ἀπὸ θε
κελεύθου,
Φράζεο δ' ὅθεν ἐμέθεν, τείπος δ' ἀπόφθε
κέλευθον,
Μαντοσύνης πᾶσαν γὰρ ἐφετμιόωσι κα-
ταλέξω.
Ἡματι δ' τούτῳ περιτελλομένῳ σὺ νικᾶτε,
Ὥρισαι

Ὥρισται πᾶσιν θάνατος (ψυχαὶ δὲ βίον?)
Λοκρῶν Αἰτωλῶν τ' ἀναμὶξ βουλῇσιν
Ἀθήνης,
Οὐδ' ἀναπαύλησις κακοῦ ἔσσεται, οὐδ'
ἠβαιόν.
Ἤδη γὰρ ψεκάδες φόνιαι κατὰ κρᾶτα κέ-
χυνται·
Νὺξ δὲ ἰυθὶ πάντα κέκευθε, μέλας δ' ἰυθι-
δέδρομεν αἴθρη·
Αὐτίκα νὺξ δὲ ἔρεβος πᾶσαν κατὰ γαῖαν
ὄρωγεν,
Χήροι δ' ὄκοι πάντες ἐπ' οὐδεὶ γῆα κλι-
νοῦσιν,
Οὐδὲ γυνὴ πένθος ποτὲ λείψεται, οἰδένυ
παῖδες,
Ἐν μεγάροις γόωσι φίλους πατέρας περι-
φῶντες·
Τοῖον γὰρ τόδε κῦμα κατέστραμε πᾶσι κατ'
ἄκρης,
Αἰ αἰ πατρίδ' ἐμὴν ἀιεὶ στένω, αἰνὰ πα-
θοῦσαν,
Μητέρα τ' αἰνοτάτην, ἣν ὕστερον ἔκλυσεν
αἰὼν,
Νώνυμόν τε θεοὶ γένεσιν θήσουσιν ἅπαντες·
Λοκρῶν τ' Αἰτωλῶν τ' ὅτι που καὶ σπέρμα
λίποιτο,

Οὕνεκ' ἐμὴν κεφαλὴν λίποι αἰὼν, οὐδένυ πάντα,
Σώματος ἠφάνικεν μέλε' ἄκριτα, λεῖπε δὲ γαῖαν,
Ἀλλά γ' ἐμὴν κεφαλὴν θέμεν' Ἠοῖ φαινομένῃφι·
Μὴ δέ θ' ὑπὸ ζοφερὴν γαῖαν κατακρυπτέμεν ἔνδον·
Αὐτοὺς δὲ περιπόντας ἑὸν χῶρον μετ' ὄπισθεν,
Στείχειν εἰς ἄλλον χῶρον καὶ λαὸν Αθήνης,
Εἴ τινα ποῦ θανατοιο λύσιν κατὰ μοῖραν ἕλησθε.

Ἀκούσαντες δὲ οἱ Αἰτωλοὶ τοῦ χρησμοῦ, γυναῖκας μὲν καὶ τὰ νήπια τέκνα, τούς τε ὑπεργήρως ὑπεξέθεντο οὗ ἕκαστος ἐδύνατο· αὐτοὶ δὲ ἔμενον, καραδοκοῦντες τὰ ἀπερισόμενον, καὶ συνέβη τοῦ ἑξῆς ἔτει Αἰτωλοῖς καὶ Ἀκαρνᾶσι συστῆναι πόλεμον, καὶ φθορὰν πολλὴν ἑκατέρων γενέσθαι.

Ἱστορεῖ δὲ καὶ Ἀντισθένης Περιπατητικὸς φιλόσοφος, Ἀκείλιον Γλαβρίωνα τὸν ὕπατον, μετὰ πρεσβευτῶν Πορκίου Κάτωνος, καὶ Λουκίου Οὐαλερίου Φλάκκου, παραταξάμενον Ἀντιόχῳ ἐν Θερμοπύλαις, γενναίως τε ἀγωνισάμενον, βιάσασθαι, ῥῖψαι μὲν τὰ ὅπλα τοῦ

μετ'

μετ' Ἀντιόχου· αὐτὸν δὲ τὰ μὲν πρῶτα εἰς Ἰταλίαν μετὰ πεντακοσίων ὑπασπιστῶν φυγεῖν· ἐκεῖθεν δὲ πάλιν εἰς Ἔφεσον ἀναγκάζαι ὑπεξελθεῖν· ὁ δὲ Ἀκείλιος Καίτωνα μὲν εἰς Ῥώμην ἀπέστειλεν, ἀπαγγελοῦντα τὴν νίκην· αὐτὸς δὲ ἐπ' Αἰτωλοὺς καθ' Ἡράκλειαν ἐστρατεύσεν, ἣν ἐξ εὐμαίρους ἔλαβεν· ἐν δὲ τῇ πρατάξει τῇ γενομένῃ πρὸς Ἀντίοχον ἐν Θερμοπύλαις, ὠθιφανέστατα σημεῖα ἐγένετο Ῥωμαίοις· ὠθιφανέντος γὰρ Ἀντιόχου, καὶ φυγόντος τῇ ὠθιούσῃ ἡμέρᾳ, ἐγίνοντο οἱ Ῥωμαῖοι περὶ ἀναίρεσιν τῶν ἐκ τῆς σφετέρας δυνάμεως πεπτωκότων, καὶ περὶ συλλογὴν λαφύρων τὲ καὶ σκύλων καὶ αἰχμαλώτων· Βούπλαγος δέ τις τῶν ἀπὸ Συρίας ἱππάρχης, τιμώμενος πρὰ τῷ βασιλεῖ Ἀντιόχῳ, ἔπεσε καὶ αὐτὸς γενναίως ἀγωνισάμενος· ἀναιρουμένων δὲ τῶν ῥωμαίων πάντα τὰ σκῦλα, καὶ μεσούσης τῆς ἡμέρας, ἀνέστη ὁ Βούπλαγος ἐκ τῶν νεκρῶν, ἔχων τραύματα δέκα δύο, καὶ πραγενόμενος εἰς τὸ στρατόπεδον αὐτῶν, ἀνεῖπε λεπτῇ φωνῇ τοῦ δὲ τοῦ στίχους·

Γαῦσαι σκυλεύων στρατὸς ἄϊδος εἰς χθόνα βάντα,
Ἤδη γὰρ Κρονίδης νεμεσᾷ Ζεὺς μέρμερα λεύσσων,

Μηνύει δὲ φόνῳ στρατιᾶς καὶ σοῖσιν ἐπ' ἔργοις,
Καὶ πέμψει φῦλον θρασυκάρδιον εἰς χθόνα τὴν σὴν,
Οἵ σ' ἀρχῆς παύσουσιν, ἀμείψῃ δ' οἷά γ' ἔρεξας.

Ταραχθέντες δὲ οἱ στρατηγοὶ ἠθὶ τοῖς ῥηθεῖσιν, διὰ ταχέων συνήγαγον τὸ πλῆθος εἰς ἐκκλησίαν· καὶ ἐβουλεύοντο περὶ τοῦ γεγονότως φάσματος. ἔδοξεν οὖν τὸν μὲν Βούπλαγον πρᾶ χρῆμα μετὰ τὰ λεχθέντα ἔπη ἀφπνεύσαντα, κατακαύσαντας θᾶψαι· καθαρμὸν δὲ ποιήσαντας τῶν στρατοπέδου, θῦσαι Διῒ ἀφτροπαίῳ, καὶ πέμψαι εἰς Δελφοὺς, ἐρωτήσοντας τὸν θεὸν τί χρὴ ποιεῖν. Παραγενομένων δὲ πυθῶδε τῶν θεωρῶν, καὶ πυνθανομένων τί ποιητέον, ἀνεῖπεν ἡ Πυθία τόνδε τὸν χρησμόν·

Ἴσχεο νῦν ῥωμαῖε, δίκη δέ τοι ἔμμονος ἔστω,
Μήσοι ἐφορμήσῃ Παλλὰς πολὺ φέρτερον Ἄρη·
Χηρώσῃ δ' ἀγορᾶς· σὺ δὲ νήπιε πολλὰ μογήσας,
Ἵξεαι ἐς χώρην τὴν σὴν, πολὺν ὄλβον ὀλέσας.

Ἀκούσαντες οὖν τοῦ λόγου τούτου, τὸ μὲν ἠθὶ στρατεῦσαι ἐπί τινα τῶν ἐν τῇ Εὐρώπῃ κατοικούν

τοικούντων, ἀπέγνωσαν τὸ παράπαν· ἀνα-
ζεύξαντες δὲ ἀπὸ τοῦ προειρημένου τόπου, παρεγένον-
το ὑπὲρ Ναύπακτον τῆς Αἰτωλίας, ὅ ἐστιν ἱερὸν
κοινὸν τῶν Ἑλλήνων, εὐτρεπίζοντες θυσίας δη-
μοτελεῖς ἀπάρχας τε ἐξ ἔθους. Τούτων δὲ ὑπο-
τελουμένων ὁ στρατηγὸς Γόπλιος ἐμμανὴς γε-
νόμενος καὶ παράφρων, ἀπεφθέγγεται πολλά
τινα ἐνθουσιωδῶς, τὰ μὲν ἐν μέτρῳ, ἐστὶν δ' ἃ καὶ
καταλογάδην· διαγγελθέντος δὲ τοῦ πλή-
θει τοῦ πράγματος, συνέθεον πάντες πρὸς τὴν
σκηνὴν τοῦ Γοπλίου, ἅμα μὲν ὑπαγρυπνιῶντες καὶ
ἐκπεπληγμένοι, ὑπὲρ τοῦ τὸν κρατίστον αὐτῶν
καὶ δυνάμενον ἀφηγεῖσθαι μετ' ἐμπειρίας, ἠτυ-
χηκέναι, ἅμα δὲ ἀκούειν βουλόμενοι τὰ λεγόμε-
να· ὥστε τινας αὐτῶν πεσθέντας βιαιότερον,
ἀπεπνιγῆναι. Τὰ μὲν οὖν ἐν μέτρῳ ῥηθέντα
ὑπ' αὐτοῦ, ἔτι ὄντων ἐν τῇ σκηνῇ, ἐστὶν τάδε·

Ὦ πατρὶς, οἷόν σοι λυγρὸν φέρει Ἄρη Ἀθήνη,
Ἡνίκα προθήσας Ἀσίην πολύολβον ἵκηαι
Ἰταλίην ἐς γαῖαν ἐϋστεφάνους τε πόλεας,
Θρινακίην νῆσον πολυήρατον, ἣν κτίσατο
Ζεύς.
Ἥξει δὲ στρατιὴ πολυφέρτατος ὀβριμόθυμος,
Τηλόθεν ἐξ Ἀσίης ὅθεν ἡλίου ἀντολαί εἰσιν,
Καὶ βασιλεὺς διαβὰς στεινὸν πόρον Ἑλλησ-
πόντου,

Ὄρκια πιστὰ ταμεῖ πρὸς κείρανον Ἡπιφρώτῃ·
Ἄξεδ' εἰς Ἀσίην γραλιλιὴ αἰὰ ἀειθμον ἀγείρας.
Παύζθεν ἐπ τ' Ἀσίης ἠδ' Εὐρώπης ἐραζφνῆς,
Καί σε δαμᾷ· χήρας δ' οἴκους ἠ τέκνα θήσει·
Δουλοζωίῃ δ' ὠδῖ πᾶσιν ἐλεύθερον ἦμαρ ἀπάρας
Τεύξῃ, μιὴ δ Θ ἕνεκ' Ἀθηναίης μεγαθύμε.

Ἀνφπὼν δὲ τὸν τίχους τέτυχε, ὥρμησεν ἐπ τῆς σκηνῆς οἰ χιτῶνι, καὶ ἀπεφθέγξατο καταλογάδην τάδε. Μνύωμεν, ὦ ἀνδρες γραπῶται καὶ ζολῖται, δζαβαίντας ὠδῖ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν, νικῆσαι ὑμᾶς τὸν βασιλέα Ἀντίοχον, ναυμαχήσαντάς τε Θ πεζῇ παταξαμένους· κυριεῦσαι ἢ τῆς ἧ τάδε τ' Ταύρε χώρας πάσης, Θ τὴν ζόλεων τὴν ἐπισμένων οἰ αὐτῇ, ἐκβαλόντας τὸν Αντίοχον εἰς Συρίαν· τουτῳ ἢ παθεῖν μὴ τὰς ζόλις, τοῖς Ἀπάλλου ὑοῖς· Γαλάτας ἢ τὸν καζικωῶτας οἰ τῇ Ἀσίᾳ, παταξαμένους πρὸς ὑμᾶς ἡσυχῆναι· τῇ δὲ γυναικῶν μὴ τέκνων καὶ τῆς ἀχρειότητος πάσης, κυριεῦσαι ὑμᾶς, Θ ἀγαγεῖν εἰς τὴν Εὐρώπην· τὸν ἢ καζικωῶτας οἰ τῇ Εὐρώπῃ τῇ παραλίαν Θρᾴκας, τῆς τε Προποντίδ Θ Θ ἑλλησπόντε, καὶ λύουσιν ὑμῖν ἀφ' τῆς στρατείας, ἐπὶ θεσιν πειθεσθαι πόλει τὴν τῇ Αἰνιαλνῶν χώραν, καὶ πίνας διαφθείραντας, ἀφελέαθ μέρ Θ τῆς

τί τῆς προνομῆς· δηλοθέντων δὲ τῶν ἄλλων, «
καὶ κομισθέντων εἰς Ῥώμην, ἔσεσθαι ἐμυθήκασ «
πρὸς βασιλέα Ἀντίοχον, ἐφ' ᾧ χρήματα μὲν «
εἰσόισει, καὶ χώρας τινὸς ἀφρεσήσεται. Ἀνα- «
γορεύσας δὲ ταῦτα, ἀνακεκράγει μεγάλῃ τῇ φω-
νῇ λέγων τάδε. Ἐκ τῆς Ἀσίας ὁρῶ διαβαι- «
νούσας δυναμεῖς χαλκοστέρνους, καὶ βασιλέας «
ὑπὸ τὸ αὐτὸ συναγομένους, καὶ ἔθνη παντοδαπὰ «
ἐπὶ τὴν Εὐρώπην, ἵππων τε κτύπον δοράτων «
τε ψόφον, καὶ φόνον αἱματόφυρτον, λεηλασίαν «
τε δεινὴν, πτώσεις τε πύργων καὶ τειχῶν κατα- «
σκαφὰς ἐρημίαν τε χθονὸς ἀμυθήτου. Ταῦτα δὲ
εἰπὼν, ἔλεξεν αὖθις ἐν ἔπεσι τάδε·

Ἡνίκα Νισαῖαι χρυσάμπυκες ἀργέτι ἵπποι,
Βῶσιν τῶν χθόνα δῖαν, ἑὴν προλιπόντες ἐφεδρὴν,
Οὓς ποτ' ἐν ἄστει τεῦξε Συρηκοσίων πολυόλβων
Δαίδαλος Ἠετίων φιλίαν πολυήρατον αὔξων,
Δαῖτ' τῶν χαλκείῃ, δεσμοῖς δ' τῶν δεσμὸν ἴαλλεν
Χρύσεον ἐν δ' αὐτὸν πᾶσιν Ὑπερίονος υἱὸν,
Ἥρμοσεν ἀκτίνεσσι καὶ ὄμμασι μαρμαί-
ροντα·
Καὶ τότε σοὶ Ῥώμη χαλεπ' ἄλγεα πάντα
τελεῖται,
Ἥξει γὰρ στρατὸς εὐρὺς, ὃς οὐ χθόνα πᾶσαν
ὀλέσσει,
Χηρώσει δ' ἀγορὰς, ἄστη δέτε πυρπολαθήσει·

Αἵματι δ' πλήσει ποταμοὺς, πλήσει δὲ καὶ ᾅδην·
Δουλοσύνην τ' οἰκτρὴν συγερὴν ἀτέκμαρτον ἐφέσσει
Οὐδὲ γυνὴ πόσιν ὅν γ' ὑποδέξεται ἐκ πολέμοιο
Νοστήσαντ', Αἴδης δὲ καταχθόνιος μελανείμων
Ἕξει ἐνὶ φθιμένοισιν ὁμοῦ τέκνα μητρὸς ἀπούρας,
Ἄρης δ' ἀλλοδαποῖς περιθήσει δούλιον ἦμαρ.

Ἀποφθεγξάμενος δὲ ταῦτα, ἐσιώπησεν, καὶ πορευθεὶς ἔξω τοῦ στρατοπέδου, ἀνέβη ἐπί τινα δρυῦ· ἐπακολουθήσαντος δὲ τοῦ ὄχλου, προσεκαλέσατο αὐτοὺς, καὶ εἶπε τάδε· Ἐμοὶ μὲν, ὦ ἄνδρες Ῥωμαῖοι, καὶ οἱ λοιποὶ στρατιῶται, καθήκει τελευτήσαντι ὑπὸ λύκου Πυῤῥοῦ εὐμεγέθους καταβρωθῆναι ἐν τῇ σίμβρον ἡμέρᾳ· ὑμεῖς δὲ τὰ ῥηθέντα ὑπ' ἐμοῦ γινώσκετε συμβησόμενα ὑμῖν πάντα, τεκμηρίοις χρώμενοι τῇ νυῦ ἐσομένῃ ἀθιφανείᾳ τοῦ θηρίου τὲ καὶ τῇ ἐμῇ ἀναιρέσει ὅτι ἀληθῆ εἴρηκα, ἔκ τινος θείας ὑποδείξεως. Τοσαῦτα δὲ εἰπὼν, ἐκέλευσεν αὐτοὺς ἀκρεῖναι, καὶ μηδένα κωλύσαι τὸ θηρίον προσελθεῖν, φαίσκον, ἐὰν ἀκρεστρέψωσιν οὐ συνοίσειν αὐτοῖς· ποιήσαντος δὲ τοῦ πλήθους τὸ προ-

τὸ προσαχθὲν οὐκ εἰς μακρὰν περαγίνεται, ὁ λύκος· ἰδὼν δὲ αὐτὸν ὁ Πόπλιος κατέβη ἀπὸ τῆς δρυὸς, καὶ ἔπεσεν ὕπτιος· ὁ δὲ λύκος ἀναχίσας αὐτὸν, κατεδαίνυτο πάντων ὁρώντων· ἀναλώσας δὲ τὸ σῶμα αὐτοῦ πλὴν τῆς κεφαλῆς ἐτραπετο εἰς τὸ ὄρος. Προσελθόντος δὲ τοῦ ὄχλου, καὶ βουλομένου ἀνελέσθαι τὰ ἀπολελειμμένα, κτερίσαι τε αὐτὸν νομίμως, ἡ κεφαλὴ κειμένη ἐπὶ τῆς γῆς, ἀνεῖπε τοὺς στίχους τούτους·

Μὴ ψαῦ' ἡμετέρης κεφαλῆς· οὐ γὰρ θέμις ἐστὶν
Οἷσιν Ἀθηναίη χόλον ἄγριον ἐν φρεσὶ θῆκεν,
Ἅπτεσθαι θείοιο καρήατος, ἀλλὰ πέπαυσο,
Μαντοσύνην τ' ἐπάκουσον ἀληθέα ἥπερ ἐρεῖ σοι·
Ἥξει γὰρ χθόνα τήνδε πολὺς καὶ καρτερὸς Ἄρης·
Ὃς λαὸν μὲν ἔνοπλον ὑπὸ σκότους ἀΐδι πέμψει,
Ῥήξει δ' αὖ λιθίνους πύργους καὶ τείχεα μακρὰ·
Ὄλβον δ' ἡμέτερον καὶ νήπια τέκν' ἀλόχους τε
Μαρψάσ, εἰς Ἀσίην ἄξει δὲ κῦμα πορήσασ·
Ταῦτά σοι εἴρηκεν νημερτέα Φοῖβος Ἀπόλλων,

Γύθιος, ὅς μοι ἑὸν κρατερὸν θεράποντ' ὠθὶ πέμψας,
Ἤγαγεν εἰς μακαίρων τὲ δομοὺς καὶ Γερσεφονείης.

Ἀκούσαντες δὲ τῶν ἐπῶν τούτων, οὐ μετρίως ἐταράχθησαν, ἱδρυσάμενοί τε ναὸν Ἀπόλλωνος λυκίου, καὶ βωμὸν οὗπερ ἔκειτο ἡ κεφαλὴ, ἐνέβησαν εἰς τὰς ναῦς, καὶ ἀπέπλεον ἕκαστος ὠθὶ τὰς ἑαυτῶν πατρίδας, καὶ συνέβη ἅπαντα τὰ ὑπὸ τοῦ Γοπλίου ῥηθέντα γενέσθαι.

Ἱστορεῖ δὲ καὶ Ἡσίοδος καὶ Δικαίαρχος, καὶ Κλίταρχος, καὶ Καλλίμαχος, καὶ ἄλλοί τινες περὶ Τειρεσίου τάδε· Τειρεσίαν τὸν Εὐμαίρους, ἐν Ἀρκαδίᾳ ἄνδρα ὄντα, ἐν τῷ ὄρει τῷ ἐν Κυλλήνῃ, ὄφεις ἰδόντα ὀχεύοντας τρῶσαι τὸν ἕτερον, καὶ πραχρῆμα μεταβαλεῖν τὴν ἰδέαν· γενέσθαι τὲ ἐξ ἀνδρὸς γυναῖκα, καὶ μιχθῆναι ἀνδρί· τοῦ δὲ Ἀπόλλωνος αὐτῷ χρήσαντος, ὡς ἐὰν τηρήσας ὀχεύοντας, ὁμοίως τρώσῃ τὸν ἕνα, ἔσται οἷος ἦν παραφυλάξαντα τὴν Τειρεσίαν, ποιῆσαι τὰ ὑπὸ τῶν θεοῦ ῥηθέντα, καὶ οὕτως κομίσασθαι τὴν ἀρχαίαν φύσιν· Διὸς δὲ ἐρίσαντος Ἥρᾳ, καὶ φαμένου ἐν ταῖς συνουσίαις πλεονεκτεῖν τὴν γυναῖκα τοῦ ἀνδρὸς τῆς τῶν ἀφροδισίων ἡδονῆς, καὶ τῆς Ἥρας φασκούσης τὰ ἐναντία, δόξαι αὐτοῖς μεταπεμψαμένοις, ἔρεσθαι τὸν Τειρεσίαν διὰ τὸ

τῶν

τῶν τρόπων ἀμφοτέρων πεπειρᾶσθαι· τὸν δὲ ἐρωτώμενον, ἀσχοφήνασθαι· διότι μοιρῶν οὐσῶν δέκα, τὸν ἄνδρα τέρπεσθαι τὴν μίαν, τὴν δὲ γυναῖκα, τὰς ἐννέα· τὴν δὲ Ἥραν ὀργισθεῖσαν κατανύξαι αὐτοῦ τοὺς ὀφθαλμοὺς, καὶ ποιῆσαι τυφλὸν· τὸν δὲ Δία δωρήσασθαι αὐτῷ τὴν μαντικὴν, καὶ βιοῦν ἐπὶ γενεὰς ἑπτά. Οἱ αὐτοὶ ἱστοροῦσι κατὰ τὴν Λαπίθων χώραν γενέσθαι Ἐλάτῳ τῷ βασιλεῖ θυγατέρα ὀνομαζομένην Καινίδα· ταύτῃ δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτὴν, ὃ ἂν ἐθέλῃ· τὴν δὲ ἀξιῶσαι, μεταλλάξαι αὐτὴν εἰς ἄνδρα, ποιῆσαί τε ἄτρωτον· τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα. Καὶ ἐν Ἀντιοχείᾳ δὲ τῇ πρὸς Μαιάνδρῳ ποταμῷ, ἐγένετο ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἀντιπάτρου, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Βινικίου. καὶ Τίτου Στατιλίου Ταύρου, τοῦ Κουρβιλίου ὠθικληθέντος· πρεθένος γὰρ γονέων ὠθισήμων τρισκαιδεκαέτις ὑπάρχουσα ὑπὸ πολλῶν ἐμνηστεύετο, οὖσα εὐπρεπὴς· ὡς δ' ἐνεγγυήθη ᾧ οἱ γονεῖς ἐβούλοντο, ἐνστάσης τῆς ἡμέρας τοῦ γάμου, προϊέναι τοῦ οἴκου μέλλουσα, αἰφνιδίως πόνου ἐμπεσόντος αὐτῇ σφοδροτάτου ἐξεβόησεν· ἀναλαβόντες δὲ αὐτὴν οἱ προσήκοντες, ἐθεράπευον ὡς ἀλγήματα ἔχουσαν κοιλίας καὶ στρόφους τοῦ ἐντός·

τῆς δὲ

τῆς δὲ ἀλγηδόνος ἐνδιμενούσης τρισὶν ἡμέραις ἑξῆς ἀχρείαν τε πᾶσι τοῦ πάθους ποιοῦντος, τῶν πόνων οὔτε νυκτὸς, οὔτε ἡμέρας ἔνδοσιν λαμβανόντων, καί τοι πᾶσαν μὲν θεραπείαν αὐτῇ προσφερόντων ἐν τῇ πόλει ἰατρῶν, μηδεμίαν δὲ τοῦ πάθους δυναμένων αὐτίαν εὑρεῖν, τῇ τετάρτῃ τῶν ἡμερῶν περὶ τὸν ὄρθρον μείζονα τῶν πόνων ἐπίδοσιν λαμβανόντων, ζῶν μεγάλῃ οἰμωγῇ ἀνακραγούσης, ἄφνω αὐτῇ ἀρσενικὰ μόρια προέπεσεν, καὶ ἡ κόρη ἀνὴρ ἐγένετο· μετὰ δὲ χρόνον, εἰς Ῥώμην ἀνηνέχθη πρὸς Κλαύδιον καίσαρα· ὁ δὲ τούτου ἕνεκα τοῦ σημείου, ἐν καπετωλίῳ Διῒ ἀλεξικάκῳ ἱστούσατο βωμὸν.

5 Ἐγένετο καὶ ἐν Μηουνίᾳ πόλει τῆς Ἰταλίας, ἐν Ἀγριππίνης τῆς Σεβαστῆς ἐπαύλει, ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησι Διονυσοδώρου, ὑπατευόντων ἐν Ῥώμῃ Δέκμου Ἰουνίου Σιλανοῦ Τορκουάτου, καὶ Κοΐντου Ἀστερίου Ἀντωνίνου· φιλοτὶς γάρ τις ὀνόματι πρεσθένος, Σμυρναία τὸ γένος, ὡραία πρὸς γάμον ὑπὸ τῶν γονέων κατεγγεγυημένη ἀνδρὶ· μορίων αὐτῇ προφανέντων ἀῤῥενικῶν, ἀνὴρ ἐγένετο. Καὶ ἄλλος δέ τις ἀνδρόγυνος κατὰ τοὺς αὐτοὺς χρόνους ἐγένετο ἐν Ἐπιδαύρῳ, γονέων ἀπόρων ταῖς, ὃς ἐκαλεῖτο πρότερον Συμφέρουσα· ἀνὴρ δὲ γενόμενος, ὠνομάζετο Συμφέρων· κηπουρῶν δὲ

τὴν

τὸν βίον διῆγεν. Καὶ ἐς Λαοδίκειαν δὲ τῆς Συρίας γυνὴ ὀνόματι Αἰτητὴ, συνοικοῦσα τῷ ἀνδρὶ ἔτι, μετέβαλε τὴν μορφὴν, καὶ μετωνομάσθη Αἰτητὸς ἀνὴρ γενόμενος· ἄρχοντος Ἀθήνησι Μακρίνου, ὑπατευόντων ἐν Ῥώμῃ Λουκίου Λαμία καὶ Αἰλιανοῦ Οὐέτερος. τοῦτον ὃς αὐτὸς ἐθεασάμην. Ἐγεννήθη καὶ ἐπὶ Ῥώμης ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἰάσονος, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Πλατίου, καὶ Σεξτου Καρμινίου, Υἱαίου, καὶ Μάρκου Φουλβίου Φλάκκου· δι' ἣν αἰτίαν ἡ σύγκλητος ἐκέλευεν τοὺς ἱερομνήμονας ἀναγνῶναι τοὺς Σιβύλλης χρησμοὺς, καὶ ἐξηγήσαντο τοὺς χρησμοὺς· εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·

Ὅσσα τέρα καὶ ὅσσα παθήματα δαίμονος αἴσης,
Ἱστὸς ἐμὸς λύσει· τάδ' ἐνὶ φρεσὶν αἴκε νοήσης,
Ῥώμη ἑῇ πίσυνος· καί τοι ποτὲ φημὶ γυναῖκα
Ἀνδρόγυνον τέξεσθαι ἔχοντά περ ἄρσενα πάντα,
Νηπιαχαίθ' ὅσα θηλύτεραι φαίνουσι γυναῖκες·
Οὐκ ἔτι δὴ κρύψω, θυσίας δέ τοι ἐξαγορεύσω.
Προφρονέως Δήμητρι καὶ ἁγνῇ Περσεφονείη,

Ἴστω

Ἴστω δ' αὐτὴ ἄνασσα θεὰ τὰ μὲν εἰκεπίθηαι,
Σεμνοταίτῃ δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ·
Θησαυρὸν μὲν πρῶτα νομίσματος εἰς ἓν ἀθροίσας,
Ὅττι θέλεις ἀπὸ παμφύλων πόλεών τε καὶ αὐτῶν,
Μητρὶ κόρης δήμητρι κέλευ θυσίαν προτίθεσθαι·
Αὐταὶ δημοσίᾳ κέλομαί σε τρὶς ἐννέα ταύρους
Φανὰς ἠϋκέρους θυέμεν λευκότριχας, αἵ κεν
Ὑμετέρᾳ γνώμῃ κάλλει προφερέσταται ὦσιν·
Παῖδας ὅσας πάρος εἶπα, κέλευ ἀχαϊστὶ τάδ' ἔρδειν,
Ἀθανάτην βασίλισσαν ἐπευχομένην θυέεσσιν
Σεμνῶς καὶ καθαρῶς, τότε δὴ μετέπειτα δεχέσθω,
Ἔμπεδ' ἀφ' ὑμετέρων ἀλόχων ἱερ', αὐταὶ ἐπ' αὐτοῖς
Ἱστῷ ἐμῷ πίσυνοι λαμπρὸν φάος, αἱ δὲ φερόντων.
Iego αὐτὰ Σεμνοταίτῃ δήμητρι τὸ δεύτερον, * αὗται λαβοῦσαι
Τρὶς τόσα νήφαλα πάντα πυρὸς μαλεροῖο τιθέντων,

Ὅσσαι

Ὅσσαι ἐπισταμένως θυσίαν γρααὶ προτίθεν τ.
Προφρονέως δ' ἄλλαι Πλουτωνίδι τόσσα λα-
βοῦσαι,
Ὅσσαι ἐν ἡλικίῃ νεοθαλέα θυμὸν ἔχουσιν,
Νηπίαχοι, σεμνὴν Πλουτωνίδα παντοδί-
δακτον,
Ἐν πατρᾷ εὐχέσθων μίμνειν πολέμου κρα-
τέοντος,
Λήθην Ἑλλήνεσσι, πεσεῖν πόλεως τε καὶ αὐτῆς.
Θησαυρὸν δὲ * ἕτεροι καὶ παρθένοι ἔνθα φερόντων, lego ἑταροὶ
Ἱστῷ θειοπαγεῖ νυμφάσματα ποικίλα
σεμνὴν,
Πλούτωνι κοσμεῖτο ὅπως * σχεσίῃσι κακοῖσι. lego σχέσιν
Προφρονέως δ' ὅτι κάλλιστον καὶ εὐκτὸν ἐπ' αἶαν ἦσι
Ὡς θνητοῖσιν ἰδέσθαι ἐπέπλετο τὸ φέρεσθαι·
Ἱστῷ σύμμικτον δῶρον βασιληΐδι κούρῃ·
Αὐταὶ ὅτ' ἂν Δήμητρι καὶ ἁγνῇ Περ-
σεφονείῃ·
Γαίας ὑμετέρας ἀπερυκέμεναι ζυγὸν αἰεὶ,
Αἰδώνῃ πλούτωνι βοὸς κυανότριχος αἷμα,
Λαμπροῖς * ἱμάσι κοσμητοὺς μετὰ ποιμέ- lego εἵμασι
νος, ὅστις
Ἡματίῳ πίσυνος βοὸς ἄρτεμος αὐτὸς ὁ
δ' ἔσται
Ὅσσοι τ' ἄλλοι ὁμοῦ πίσυνοι κατὰ πατρίδ'
ἔασι·

Μὴ

Μὴ γὰρ ἀπιστόφιλος θυσίαισιν ἀνὴρ παρεπέσθω·

† lego ἔνθα νομιστὸν

Ἔξω δ' † ἔνθ' ἀνόμιστον ἐπέπλετο φωτὶ τάδ' ἔρδειν,

* Νούπιστοι καταδαιτον ἔχειν θυσίαν, κατὰ δ' αὐτὴν

Ὅστις ἂν ἡμετέρων χρησμῶν ἴδοις ἐς τόδ' ἵκηται,

Σεμνὸν Φοῖβον ἄνακτα μετελθέτω ἐν θυσίαισι,

Προφρονέως βωμοῖς ἢ πίονα μηρία καύσας,

Αἰχῶν παλλεύκων νεάτην· ἀταρ οἴδατε πάντες,

Λισσέσθω Φοῖβον παιήονα κρᾶτα πυκάσσας,

Ἱκτῆρες πίπτοντες ὅπως λυσίης ἀκαίκοιο,

Νοστήσας δ' ἀχὴ τοῦ βασιληΐδα πότνιαν Ἥρην·

Ἀργὴν βοῦν θύων πατρίοισι νόμοισι κατ' αἶσαν,

a lego αἴκε b ὡς

Ὑμνεῖν αἴκε γένει [a] προφερέστεραι [b] ὡς ἐνὶ λαοῖς,

Καὶ νήσων ναέται τὴν ἀντιπάλων ὅτ' ἂν αἶαν·

Οὐ δόλῳ, ἀλλὰ βίᾳ Κυμαΐδα πρόφρονες αὗται,

Νάσσωνται σεμνῆς βασιληΐδος οἷς ἐτίθεντο,

Ἐν

Ἐν πατρίοισιν ὁμοῖς Ἥρας ξόανόν τε κατ᾽
οἶκον,
Ἵξει δ᾽ ἂν μύθοισιν ἐμοῖς τάδε πάντα τί-
θηνται,
Σεμνοτάτην βασίλισσαν ἐπέλθῃς ἐν θυ-
σίαισιν·
Ἐν πολλῷ χρόνῳ αὐτόθ᾽ ἐφ᾽ ὕστερον ὅσκεν
ἐπ᾽ αὐτοῖς,
Νήφαλαι κεν ῥέξας ὅσαι ἡμέραι εἰς ἐνιαυτὸν,
Ὅσκε τάδε ῥέξει κείνου κράτος ἔσσεται
αἰεὶ,
Νηφαλίμων ἀρνῶν τε ταμῶν χθονίοις τά-
δε ῥέξον,
Ἦμος ἂν ἤδη ἔχοις μεγαλήτην οὐκ ἀπάντη
Ξεστοδόταν ξοάνῃσιν καὶ τᾶλλ᾽ ὃς ἔλεξασαφι,
Ἐν πετάλοισιν ἐμοῖς ὑπὸ κορκίδος ἀμφὶ
καλύπτρας
Ἵμερτός σε βάλεν γλαυκῆς ἐλάας πολυ- *
κάρπου,
Ἀγλαὰ φῦλλα λαβοῦσα λύσιν κακοῦ ἦμος
ἂν ἔλθῃ,
Ὕμμι χρόνος μάλα κεῖνος ἐν ᾧ ποτε τᾶλ-
λαν εογνη·
Τρωσδητε καύσεισε κακῶν ἅμα δ᾽ ἑλλαίδος
ἐκ γῆς·
Αὐτὰρ σοῦ μεταβᾶσαν ἐπιτρωνεῖς ἀγορεῦσαι.

Ἐν δὲ Μεσσήνῃ οὐ πρὸ πολλῶν ἐτῶν, ὥς φησιν Ἀπολλώνιος, συνέβη πίθον λίθου πεποιημένον ῥαγῆναι, χειμώνων βίᾳ καὶ ὕδατος πολλοῦ ἐπενεχθέντος· προχυθῆναι δὲ αὐτοῦ κεφαλὴν τριπλασίαν τῆς ἀνθρωπίνης, τοὺς δὲ ὀδόντας ἔχειν διστοίχους· ἀναζητούντων δὲ τίνος εἴη ἡ κεφαλὴ, δηλῶσαι τὴν ὑπηγραφήν. Ἴδεω γὰρ ἐγκεχαίρακτο· ἕτερον οὖν δημοσίᾳ κατασκευάσαντες πίθον, ἐνέθεσαν καὶ ἀσφαλέστερον ἐκήδευσαν τὸν Ἥρωα οἱ Μεσσήνιοι. τοῦτον ἰδόντες ὄντα περὶ οὗ φησὶν Ὅμηρος,

Ἴδεωθ' ὃς καρτίστος ὑπηχθονίων γένετ' ἀνδρῶν,
Τῶν τότε, καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον,
Φοίβου Ἀπόλλωνος καλλισφύρου εἵνεκα νύμφης.

Ἐν Δαλματίᾳ τὲ ἐν τῷ τῆς Ἀρτέμιδος καλουμένῳ σπηλαίῳ, ἔστιν ἰδεῖν πολλὰ σώματα, ὧν τὰ τῆς πλευρᾶς ὀστᾶ ὑπερβάλλει ἑκκαίδεκα πήχεις.

Ἀπολλώνιος δὲ ὁ γραμματικὸς ἱστορεῖ ὑπὲ Τιβερίου Νέρωνος σεισμὸν γεγενῆσθαι, καὶ πολλὰς καὶ ὀνομαστὰς πόλεις τῆς Ἀσίας ἄρδην ἀφανισθῆναι ἃς ὕστερον ὁ Τιβέριος οἰκείᾳ δαπάνῃ πάλιν ἀνώρθωσεν, ἀνθ' ὧν κολοσσόν τε αὐτῷ κατασκευάσαντες ἀνέθεσαν παρὰ τῷ τῆς Ἀφροδίτης

δίτης ἱερῶ, ὃς ὄπιν ἐν τῇ Ῥωμαίων ἀγορᾷ, μὴ τῶν πόλεων ἐκφύσης ἐφεξῆς, ἀνδριάντας πρέσβεις ἐπαθον ὑπὸ τῆς Σικελίας τὸ σεισμῶδες ὀλίγαι πόλεις, μὴ τὰ πλησίον ῥήξαντος· ἐστιάθη δὲ ὀλίγα μὴ τῶν πόλεων θῶν· καὶ δὴ τῆς γῆς τὰς διαστάσεις, ἐφανὴ σωμάτων μεγέθη, ἃ ἐκπλαγέντες οἱ ἐπιχώριοι, κινῆσαι μὴ ὤκνησαν, δείγματος δ' ἕνεκεν, ἔπεμψαν εἰς πλὴν Ῥώμην ὀδόντα ἑνὸς ἐλεφαντίνου μόνου, ἀλλ' ὑπερβάλλοντα καὶ τῷ τὸ μέτρον· ἰδιώτας ἓξ τριβρίῳ οἱ πρέσβεις, ἱέρονδε εἰ βούλει κομιδῇ ὦσαι τὴν Ἥρωνα πρὸς αὐτόν. Ὁ δὲ πρὸς ταῦτα ἐμφρόνως ἐβουλεύσατο, μήτε τῆς γνώσεως τὸ μεγέθος ἑαυτὸν ἀφαιρήσας, τό, τε αἰδέσιον τῆς νεκροσυλίας παρητησάμενος· γωμέτρην γάρ τινα τῶν ἀφανῶν γῆλοφον ὀνόματι, ἐμφράξαντα ὑπ' αὐτῆς δὴ τῆς τέχνης κολάσας, πρόσωπον ἐκέλευσε πολάσαι πρὸς τὸ μέγεθος τοῦ ὀδόντος· ὁ δὲ καθαπτόμενος ἥλικον ἂν γένοιτο τό, τε σύμπαν σῶμα καὶ τὸ πρόσωπον αὐτοῦ, τῷ τοῦ ὀδόντος ὄγκῳ, ὃ γασάμενος δὴ ταχέως, ἐκόμισε τῷ κυβερνήτῃ κἀκεῖνος εἰπὼν ἀρκεῖσθαι τῇ δεκαταύτῃ, ἀπέπεμψε τὸν ὀδόντα ἐκεῖσε, ὅθεν μὴ ἐκομίσθη. Οὐ χρὴ δὲ ἀπιστεῖν τῷ ἑρμηνεῖ, ἐπεὶ μὴ τὰ Αἰγύπτια λίγραι εἰσὶν τόσαι, αἱ αἷς δείκνυται σώματα ἐκ ἐλαττω τούτων, οὐ κεκρυμμένα γε, ἀλλ' ἐμφανῆ ἀφειμένα οὔτε

συγκέχυται, ὅτε συμπεφόρηται, ἀλλ' οὐ τάξει κεῖσθαι, ὡς γνωείσαι προσελθόντα, τοῦτο μὲν μηρῶν ὀστᾶ, τοῦτο δὲ κνημῶν, τὴν ἄλλων μελῶν. Διὸ δὴ καὶ δεῖ τούτοις ἀπιστεῖν οἰνομένους, ὅτι κατ' ἀρχὰς μὲν ἡ φύσις ἀκμάζουσα, ἅπαντα ἐγγὺς θεῶν ἐκθρεπτρόφει· μαραινομένου δὲ τοῦ χρόνου συμμεμάρανται καὶ τὰ μεγέθη τῶν φύσεων· καὶ τὰ οὐ τῇ Ῥόδῳ δὲ παρελήφαμεν ὀστᾶ πηλικαῦτα τὸ μέγεθος, ὡς παραβαλλομένους τοὺς νῦν ἀνθρώπους πολὺ καταδεεστέρους εἶναι. Ὁ δὲ αὐτὸς φησιν πλησίον Ἀθηνῶν, νῆσόν τινα εἶναι· τὴν δὲ τοὺς Ἀθηναίους βούλεσθαι τειχίζειν· σκάπτοντας δὲ τοὺς θεμελίους τῶν τοίχων εὑρεῖν σῶμα ὄν τὸν μὲν

σκελετȣ, πηχῶν εὑρεθῆναι εἰκοσιτεσσάρων. ταῦτα δέ φησιν τὰ ὀστᾶ τοὺς περιοικοῦντας Βαρβάρȣς, εἰς τὴν Μαιῶτιν ῥίψαι λίμνην. Παιδίον πρὸς Νέρωνα ἐκομίσθη τετρακέφαλον, ἀναλογα ἔχον καὶ τὰ ἄλλα μέλη· ἄρχοντος Ἀθήνησιν Θρασύλλȣ, ὑπατευόντων ἐν Ῥώμῃ Ποπλίȣ Πετρωνίȣ τȣ Σπαλιανȣ, καὶ Κεσεννίȣ Πέτȣ. Καὶ ἕτερον ἐγεννήθη, ὑπὲ τȣ ἀριστερȣ ὤμȣ κεφαλὴν ἐκπεφυκυῖαν ἔχον. Ἐγένετο σημεῖον πράδοξον ὑπὲ Ῥώμης, ἄρχοντος Ἀθήνησι Δεινοφίλȣ, ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντȣ Οὐρατίȣ, καὶ Γναίȣ Πομπηΐȣ Γάλλου· Ῥαικίȣ δὲ Ταύρȣ ἀνδρὸς στρατηγικοῦ τῆς γυναικὸς θεραπαινα τῶν τετιμημένων ἀπεκύησε πίθηκον. Κορνηλίȣ Γαλλικανȣ ἡ γυνὶ παιδίον ἔτεκεν κεφαλὴν ἔχον Ἀνȣβίδος ὑπὲ Ῥώμης· ἄρχοντος Ἀθήνησιν Δημοστράτου· ὑπατευόντων ἐν Ῥώμῃ Αὔλου Λουκιννίου Νερούα Σιλανιανȣ, καὶ Μάρκȣ Οὐηεστίνȣ Ἀττικȣ. Γυνὴ ἀὲρ πόλεως Τριδέντȣ τῆς Ἰταλίας, ἀπεκύησεν ὄφεις ἐσφαιρωμένους· ὑπατευόντων ἐν Ῥώμῃ Δομετιανοῦ καίσαρος τὸ ἔνατον, καὶ Πετιλίου Ῥοῦφου, τὸ δεύτερον, ἐν Ἀθήναις ἀναρχίας οὔσης. Ἐν Ῥώμῃ δικέφαλόν τις ἀπεκύησεν ἔμβρυον, ὃ ὑποθήκαις τῶν θυοσκόων εἰς τὸν Τίβεριν ποταμὸν ἐνεβλήθη· ἄρχοντος

Ἀθήνησιν Ἀδριανοῦ τοῦ αὐτοκράτορος γενομένου, ὑπατευόντων ἐν Ῥώμῃ αὐτοκράτορος Τραϊανοῦ τὸ ἕκτον, καὶ Τίτου Σεξτίου Ἀφρικανοῦ. Δωρόθεος δὲ φησὶν ὁ ἰατρὸς ἐν ὑπομνήμασιν, ἐν Ἀλεξανδρείᾳ τῇ κατ' Αἴγυπτον, κίναιδον τεκεῖν· τὸ δὲ βρέφος ταριχευθὲν, χάριν τοῦ πρᾶδόξου φυλάττεσθαι. Ἐν Γερμανίᾳ ἐν τῷ στρατῷ τῶν Ῥωμαίων, ὅς ἦν ὑπὸ Τίτῳ Κουρτιλίῳ Μαγκίᾳ, τὸ αὐτὸ τοῦτο ἐγένετο. Δοῦλος τοῦ στρατιώτου ἔτεκεν· ἄρχοντος Ἀθήνησιν Κόνωνος· ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντου Οὐλουσίου Σατορνίνου, καὶ Ποπλίου Κορνηλίου Σκιπίωνος. Καὶ Ἀντίγονος δὲ ἱστορεῖ ἐν Ἀλεξανδρείᾳ, μίαν γυναῖκα ἐν τέτρασι τοκετοῖς εἴκοσι τεκεῖν, καὶ τὰ πλεῖστα τούτων ἐκτραφῆναι. Καὶ ἑτέρα τίς γυνὴ κατὰ τὴν αὐτὴν πόλιν, πέντε ἐν ἑνὶ τοκετῷ ἀπεκύησεν παῖδας, τρεῖς μὲν ἄῤῥενας, δύο δὲ θηλείας· οὓς Αὐτοκράτωρ Τραϊανὸς ἐκέλευσεν ἐκ τῶν ἰδίων χρημάτων τρέφεσθαι· πάλιν δὲ μετ' ἐνιαυτὸν, ἄλλα τρία ἡ αὐτὴ γυνὴ ἔτεκεν. Ἱππόστρατος δέ φησιν ἐν τῷ περὶ Μίνω, Αἴγυπτον ἐκ μιᾶς γυναικὸς Εὐρυόπης τῆς Νείλου, πεντήκοντα υἱοὺς γεννῆσαι. Δαναός τε ὁμοίως ἐκ μιᾶς γυναικὸς τῆς Νείλου Εὐρυόπης, πεντήκοντα θυγατέρας ἔσχεν. Κρατερὸς δέ φησιν ὁ Ἀντιγόνου τοῦ βασιλέως ἀδελφὸς, γινώσκειν τινὰ ἀνθρω-

πον

τον, ὃν ὠ ἐπὶ ἔτεσιν παῖδα γενέαθ, ἢ μφράκιον, ἢ ἀνδρα, ἢ γέροντα ἢ γήμαντα, ἢ παιδοφιτεύμενον ἀφθανεῖν. Μεγασθένης δέ φησιν τὰς ὑπὸ Γαλατῶν καθοικέσας γυναῖκας ἑξαετεῖς γινομένας πίπτειν. Εὑρέθη ἐν Σαύνῃ τῇ Ἀραβίας πόλει, Ἱππόκενταυρος ὑπὸ ὄρους μεγάλου ὑψηλοῦ, ὃ δὴν γόμον φαρμάκου θανασίμου· καλεῖται δὲ τὸ φάρμακον ὁμώνυμον τῇ πόλει· ὀξύτατον δὲ καὶ ἀνυπόκριτον τὸν τῶν ὀλεθρίων καθέσηκεν· τὸν δὲ Ἱππόκενταυρον συλλαβὼν ὁ βασιλεὺς ζωὸν, ἀπέστειλε ζωὸν ἑτέροις δώροις πρὸς καίσαρα εἰς τὴν Αἴγυπτον· τροφὴ δὲ ἦν αὐτῷ, κρέα· ὁ φόβων δὲ τὴν μεταβολὴν τοῦ ἀέρος, τελευτᾷ· οὕτως ὁ ἔπαρχος τῶν Αἰγύπτου ταριχεύσας, ἀπέστειλεν εἰς Ῥώμην· καὶ πρῶτον ἐν τοῖς βασιλείοις ἀπεδείχθη, τὸ μὲν πρόσωπον ἀνθρώπου ἔχων· χεῖρας δὲ καὶ τοὺς τούτων δακτύλους τετευχωμένους· τὰ δὲ ὄπισθεν ἕως μὲν τῶν πλευρῶν σκέλεσι καὶ τῇ ὀσφύϊ ὅλοις ἦσαν αὐτῷ ἵππου στέρνα, καὶ ἐπίξανθοι χαῖται, καθάπερ καὶ τῆς ταριχείας συμμιλαινόμεναι τῇ δορᾷ· μέγεθος δὲ οὐκ οἰόπερ οἱ γραφόμενοι, ἀλλ' αὖ πάλιν μικρόν. Ἐν δὲ τῇ προφημένῃ πόλει Σαύνῃ ἐλέγοντο ἕτεροι εἶναι Ἱππόκενταυροι· ὧν δὲ ἀπενεχθέντα εἰς Ῥώμην εἶδες ἀπιστεῖ, δύναται ἰσορρῆσαι· ἀφ' οὗ

γὰρ ἐν τοῖς ὁρίοις τοῦ αὐτοκράτορος τεταρι-
χευμένος, ὡς προεῖπον. ¶ ΠΕΡΙ ΤΩΝ
ἑκατὸν ἔτη ζήσαντες Ἰταλῶν, ὡς ἐξ αὐ-
τῶν τῶν ἀρχαιμήσεων ἀναζητήσαντες ὀ πρέρ-
χος ἐμάθομεν. Λούκιος Κορνήλιος, Κορνίου
υἱὸς, πόλεως Πλακεντίας. Λούκιος Γλαύκ-
κιος Οὐῆρος, Λούκιος πόλεως Πλακεντίας.
Λούκιος Οὐετούστιος Σεκουῦδος, Λουκίου υἱὸς,
πόλεως Πλακεντίας. Λούκιος Λικίννιος Γά-
λος, Λουκίου ἀπελεύθερος, πόλεως Πλα-
κεντίας. Λούκιος Ἀκίλλιος Μάρκελλος,
Λουκίου υἱὸς, πόλεως Πλακεντίας. Λούκιος
Οὐέττιος, Μάρκου υἱὸς, Βριξέλλων. Λούκιος
Κουσσώννιος, Λουκίου υἱὸς, πόλεως Κορνηλίας.
Λούκιος Γαμίνιος, Λουκίου υἱὸς, πόλεος Βελείας.
Γάϊος Πορτήσιος Φρόντων, Σέξτου υἱὸς, πόλεως
Βονωνίας· Γάϊος Νώνιος Μάξιμος, Γοπλίου υἱὸς,
πόλεως Βριξέλλων. Γάϊος Ἀμούριος Τείρωνος,
Γαΐου υἱὸς, πόλεως Κορνιλίας· Γάϊος Καστοπού-
δης, Τιτίου υἱὸς, πόλεως Γαρμης. Γαΐος Οὐά-
τιος Τέρτιος, Σπορίου υἱὸς, πόλεως Πλακεν-
τίας. Γάϊος Ἰούλιος Πόθος, πόλεως Ῥαβέννης.
Γάοϊς Οὐαλέριος Πρίμος, Κοΐντου υἱὸς, πόλεως
Βελείας· Καισειλίας Κῦρος, πόλεως Πλακεν-
τίας. Κατία Γαΐου θυγάτηρ, πόλεως Φαουεν-
τίας.

πίας. Πόπλιος Φούλβιος Φρύξ, Λουκίου ἀπελεύθερος, πόλεως Ρολλισίας· Πόπλιος Νέβιος, Λουκίου υἱός, πόλεως Βασιλείας· Πόπλιος Δεκέμιος Δημοσθένης, Ποπλίου ἀπελεύθερος, πόλεως Ἀεμηνου. Πετρωνία Κοίντα, Λουκίου ἀπελευθέρα, πόλεως Πλακεντίας· Πόλλια Πόλλα Σωσείου θυγάτηρ, πόλεως Αἰτωσίας. Μάρκος Οὐϊλφόνιος Σβυῆρος, πόλεως Οὐελείας· Μάρκος Τρέβιος Ἄλβιος, Μαρκου ἀπελεύθερος, πόλεως Πλακεντίας. Μάρκος Ἀντώνιος, Λευκίου υἱός, πόλεως Πλακεντίας. Μάρκος Τάλπιος Οὐϊταλὶς, Μαρκου υἱός, πόλεως Πλακεντίας. Μάρκος Ἀκκέλιος, Μάρκου υἱός, πόλεως Βονωνίας. Μάρκος Νιρέλιος, Γαΐου υἱός, πόλεως Πάρμης. Τίτος Οὐϊβιος Θαλλος, Σοιείου υἱός, πόλεως Παρμης. Τίτος Αἰμίλιος, Κοίντου υἱός, πόλεως Ῥηγίας. Τίτος Οὐετεράνιος, Ποπλίου υἱός, πόλεως Βονωνίας. Τίτος Νεμέριος, Τίτου υἱός, πόλεως Πλακεντίας. Τίτος Σερούϊος Σεκουνδος, Τίτου υἱός, πόλεως Βονωνίας· Τίτος Πετρώνιος, Ποείου υἱός, πόλεως Πλακεντίας. Τίτος Αὐτώνιος, Μαρκου υἱός, πόλεως Ῥηγίου. Τίτος Ἐρούσιος Πολλίων, Γαΐου υἱός, πόλεως Βονωνίας. Τίτος Καμόρειος Τόρπος, Τίτου υἱός, πόλεως Φιδεντίας. Τουρελλιφόρνιος Γαΐου ἀπελευθέρα, πόλεως Βο-

 νωνίας.

νωνίας. Κούϊντος Καυσιος Ῥοῦφος, Κουΐντου υἱὸς, πόλεως Ῥηγίου. Κούϊντος Λουκρίτιος πρίμος, Κοΐντου υἱὸς, πόλεως Ῥηγίου. Κούϊντος Οὐέλιος Γοπλίου υἱὸς, πόλεως Βελίας. Ἀντωνία Σεκουνδα, Γοπλίου θυγάτηρ, πόλεως Βελίας. Ἀλβατία Σαβῖνα, πόλεως Παργης. Σαλουΐα Οὐάρηνα Γοπλίου θυγάτηρ, πόλεως Βασιλείας. Βεβία Μαρκέλλα Σέξτου θυγάτηρ, πόλεως Ὀρτισίας. Βασκία Ἀστικόσου Μακεδὼν, ἀπὸ Φιλίππων. Βουζηστόνου παροίκου Πόλπης, Μακεδὼν. Φρόντων Ἀλβουτίου Μακεδὼν ἀπὸ Φιλίππων. Σαρκης Κιλαμακέτις Ἀμφιπολῖτις. Αἰδέσιος Δίζα παροικοπόλεως, Μακεδὼν. Βίθυσδιζάστου παροικοπόλεως, τῆς Μακεδόνων. Ζαικεδένθης Μουκάσου παροικοπολίτης Μακεδὼν. Μάντις καὶ προίζου Μακεδὼν, ἐξ Ἀμφιπόλεως. Ἀλέξανδρος Δημητρίου Τιανὸς, ἀπὸ πόντου, ὁ Βιθυνίας. Γάζα Τίμωνος Τιανὴ, ἀπὸ πόντου, καὶ Βιθυνίας. Χρήστη Ἀντιπάτρου Τιανὴ. Χρυσίου Θεοφίλου Τιανὴ. Ἱέρων Ἱέρωνος Τιανὸς. Μούζακος Μουκαντίου Νικομηδεὺς Βιθυνίας. Λούκιος Φιδικλαυνιος Νέπως, Σινωπεὺς. Ἀλούκιος Ἀπιλιούτας, ἀπὸ Λουσιτανίας πόλεως Ἰντεβρανιησίας. Ἄμβατος Δοκουρίου υἱὸς, τῆς αὐτῆς πόλεως. Καυμαλος, Καντολγουνίου υἱὸς, τῆς αὐτῆς πόλεως. Κέλτιος Πελλίου υἱὸς, πόλεως Ἀπειλοκαρίου.

καρίου. Ἀῤῥοιώτιος Ἀππίου υἱός, πόλεως Κονιμβριγησίας. Τάμφιος Κελτίου υἱὸς πόλεως τῆς αὐτῆς. Δοκκούριος Ἀλουκκίου υἱός, πόλεως Αἰβουροβισυγγησίας. ¶ ΟΙ ἈΠΟ ἘΚΑΤΟΝ ΤΕΣΣΆΡΩΝ ἘΤΩΝ, ΜΈΧΡΙ ἘΚΑΤΟΝ ΔΈΚΑ ἈΠΟΓΡΑΨΆΜΕΝΟΙ.] Γάϊος Λυλήδιος πρίμος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κλωδία Ποτέστα, Γαΐου ἀπελευθέρα, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κουσινία Μόσχος Γαΐου ἀπελευθέρα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν. Κορεωνία Οὐερηκουῦδα, Ποπλίου ἀπελευθέρα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν. Λουΐα Ἀττικὴ, Ποπλίου ἀπελευθέρα, πόλεως Παρμης, ἔτη ἑκατὸν ἕν. Βουρία Λυχναινὶς, πόλεως Παρμης, ἔτη ἑκατὸν ἕν. Γαΐος Σάμφιος, Γαΐου υἱός, πόλεως Βελείας, ἔτη ἑκατὸν δύο. Κούϊντος Κορνήλιος, Κουΐντου υἱός, πόλεως Ῥηγίου, ἔτη ἑκατὸν δύο. Τίτος Ἀντώνιος, Τίτου υἱός, πόλεως Παρμης, ἔτη ἑκατὸν δύο. Κοκνανία Μοῦσα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν τρία. Δημόκριτος Ἀβδηρίτης, ἔτη ἑκατὸν τέσσαρα. ἐτελεύτησεν δὲ τροφῆς ἀπεχόμενος. Κτησίβιος ὁ ἱστοριογράφος, ἔτη ἑκατὸν τέσσαρα· ἐν Περιπάτῳ δὲ ἐτελεύτα, ὡς Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς δεδήλωκεν. Ἱερώνυμος ὁ συγγραφεὺς

φεὺς πολλοὺς μὲν χρόνους ἐν ταῖς στρατείαις ἀνα-
τλήσας· πλείστοις δὲ τραύμασιν ἐν πολέμοις
περιπεσὼν, ἐτελεύτησεν, βιώσας ἔτη ἑκατὸν
τέσσαρα, ὥς φησιν Ἀγαθαρχίδης ἐν τῇ ἐννάτῃ
τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν. Γάϊος Λαλ-
λίας Τιωναῖνος, Λουκίου υἱὸς, πόλεως Βιωνίας,
ἔτη ἑκατὸν πέντε. Γόπλιος Χουϊσέντιος Σφυ-
ρίων Γοπλίου ἀπελεύθερος, πόλεως Βονωνίας,
ἔτη ἑκατὸν πέντε. Τίτος Κοττίνας Χρύσαντος,
Τίτου ἀπελεύθερος, πόλεως Φαουεντίας, ἔτη
ἑκατὸν πέντε. Μάρκος Γομώνιος Σεβῆρος,
Μάρκου υἱὸς, πόλεως Ταννητάνης, ἔτη ἑκατὸν
πέντε. Σέξτος Νέβιος Σέξτου υἱὸς, πόλεως Γαρ-
μίας, ἔτη ἑκατὸν πέντε. Λούκιος Αἴλιος Δω-
ρόθεος, Λουκίου ἀπελεύθερος, πόλεως Βο-
νωνίας, ἔτη ἑκατὸν ἕξ. Γάϊος Γομπούσιος
Μοντιανὸς, Ποπλίου υἱὸς, ἔτη ἑκατὸν
ἑπτά. Γόλλα Δωνάτα Σέξτου θυγάτηρ,
πόλεως Βονωνίας, ἔτη ἑκατὸν δέκα· Μουναντία
Προκούλα, Λουκίου θυγάτηρ, πόλεως Ῥηγίου, ἔτη
ἑκατὸν δέκα. ¶ ΟΙ ἈΠΟ ΤΩΝ Ἑ-
ΚΑΤΟΝ ΔΕΚΑ ἘΤΩΝ ΜΕΧΡΙ Ἑ-
ΚΑΤΟΝ ἘΙΚΟΣΙ ἈΠΟΓΡΑΨΑΜΕ-
ΝΟΙ.] Τίτος Πουρέννιος Τοῦτος, Λούκιου υἱὸς,
πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕνδεκα. Λούκιος
Αντίστιχος Σωτήριχος, Λουκίου ἀπελεύθερος, πό-
λεως

λεως Ῥαβέννης, ἔτη ἑκατὸν δέκα τρία. Λύκιος Γέτρυ, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν δέκα τέσσαρα. Ἰουλία Μοδεστίνα, πόλεως Κορσιόλων, Γριμοπιλαρίου ἀπελευθέρα, καθ' ἡμας ἔτι οὖσα, πόλεως Βριξέλλων, ἔτη ἑκατὸν εἴκοσι.

¶ ΟΙ ΑΠΟ ΡΛ ΕΤΩΝ, ΜΕΧΡΙ ΡΜ ΑΠΟΓΡΑΨΑΜΕΝΟΙ.] Λύκιος Τέρτιος, πόλεως Μονωνίας ἔτη ρλέ. Φαῦστος καίσαρος δοῦλος ἐκ Σαβίνων, ἀπὸ Παιτωρίου Γαλλαντιανοῦ, ἔτη ρλϛ, ὃν καὶ αὐτὸς ἐθεάσαμεν, Ἀδριανῷ τῷ καίσαρι ὑπηδειχθέντα. Ἀργανθώνιος ὁ τῶν Ταρτησίων βασιλεὺς, ὡς ἱστορεῖ Ἡρόδοτος. © Ἀνακρέων ὁ ποιητὴς, ἔτη ρν. Σίβυλλα, ἡ Ἐρυθραία, ἐβίωσεν ἔτη ὀλίγον ἀπὸ δέοντα τῶν χιλίων, ὡς αὐτή φησιν ἐν τοῖς χρησμοῖς τόν δε τὸν τρόπον·

Ἀλλὰ τί δὴ πανόδυρτος ἐπ' ἀλλοτρίοισι πάθεσσι
Θέσφατα φοιβάζω, λυσσώδεα μοῖραις ἔχουσα,
Οἴστρου δὲ σφετέρου καταγεύομαι ἀλγινόεντος·
Ἐκνεάομεν * ἀεὶ χαλεπὸν κατὰ γῆρας ἔχουσα,
Μαινομένη μὲν ἐνὶ θνητοῖς, καὶ ἄπιστα λέγουσα,
Γαῖντα δ' ὑπὲρ προϊδοῦσα βροτῶν δυσανάσχετα κήδη,

* ἐκ νεαρῶν μὲν legi.

Καὶ

Καὶ τότε μοι φθονέσας Λητοῦς ἐρικυδέος υἱός,
Μαντοσύνης παθέων δὲ κατοικήσας ὀλοὸν κῆρ,
Ψυχὴν ἐκλύσει δεσμευομένην ἐνὶ λυγρῷ.
Σώματι σαρκοτύπιδι ὀϊστεύσας γεγάϊον.
Ἐνθ' ἄρα μοι ψυχὴ μὲν εὐ ἠέρα πιστηθεῖσα,
Πνεύματι συγκραθεῖσα βροτῆν εἰς οὔατα πέμψει
Κληδόνας ἐν πυκινοῖς αἰνίγμασι συμπλεχθείσας,
Σῶμα δ' ἀεικελίως ἄταφον πρὸς μητέρος αἴης,
Κείσεται οὐ γάρ τις θνητῆν ὑπὲ γαῖαν ἀμήσει,
Οὐδὲ τάφῳ κρύψει, κατὰ γὰρ χθονὸς εὐρυοδείης
Δύσεται αἷμα μέλαν τορβαινομένοιο χρόνοιο.
Ἔθεν δὴ πολλῆς ἀναδύσεται ἐρνέα ποίης,
Ἡ καταβοσκομένων μήλων εἰς Ἥπατα δῦσα,
Ἀθανάτων δείξει βουλεύματα μαντοσύνῃσι,
Σαρκῶν δ' ὄρνιθες πετροδείμονες αἴκε πάσωνται,

Μαντο-

Μαντοσύνην θνητοῖσιν ἀληθέα ποιπνύουσι.

Διὰ τούτου τοῦ χρησμοῦ ἀφεδείγνυται δέκα γενεὰς αὐτὴν καθ' ἀνθρώπους γεγονέναι, καὶ μετὰ τὴν ἀναχώρησιν τὴν ἐκ τοῦ ζῆν, τῆς μὲν ψυχῆς κατὰ τὸν ἀέρα φερουμένης, καὶ προσπιπτούσης τοῦ ὑπὸ τὴν ἀνθρώπων λαλουμένους πρασκευάσειν, τὰς γινομένας κληδόνας διὰ τὴν λόγον· τοῦ δὲ σώματος ἀτάφου γενομένου, τὰ μὲν ὄρνεα τὴν σαρκῶν φαγόντα, τὴν δὲ τῆς ὀρνιθοσκοπίας μαντείαν διασημαίνειν· τοῦ δὲ ὑπολοίπου μέρους εἰς τὴν γῆν σαπέντος, καὶ τὰ κτήνη φαγόντα τῆς ἐκ τῆς γῆς φυομένης πόας, τὴν ἡπατοσκοπικὴν εἰς τὸν βίον εἰσάξειν τέχνην. Τὴν δὲ γενεὰν Σίβυλλα ἱστορεῖ ἐτῶν ἑκατὸν δέκα, ἐν τῷ χρησμῷ τῷ πρὸς Ῥωμαίους περὶ τὴν αἰωνίων θεῶν, ἃ Ῥωμαῖοι Σεκουλάρια καλοῦσι. Τῶν γὰρ συμμάχων αὐτὴν καὶ κοινωνῶν μὴ ἐμμενόντων ταῖς συνθήκαις, ἀλλὰ πυκνὰ μεταβαλλομένων καὶ πολεμούντων αὐτοῖς, ἡ Σίβυλλα ἐχρησμῴδησεν, ὑπὸ τελεσθεισῶν τὴν θεωρίων τούτων, ὑποταγήσεσθαι τοὺς ἀφεστῶτας Λατίνους· εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·

Ἀλλ' ὁπότ' ἂν μήκιστος ἵκῃ χρόνος ἀνθρώποισι,

Ζωῆς

Ζωῆς εἰς ἐτέων ἑκατὸν δέκα κύκλον ὁδεύσας,
Μεμνῆσθαι Ῥώμαῖε, καὶ εἰ μαλλα λήσει ἑαυτοῦ,
Μεμνῆσθαι τά δε πάντα, θέοισι μὲν ἀθανάτοισι,
Ῥέξειν ἐν πεδίῳ πρὰ Θύβριδος ἄπλετον ὕδωρ,
Ὅππῃ ςεινότατον, νὺξ ἡνίκα γαῖαν ἐπέλθῃ,
Ἡελίου κρύψαντος ἑὸν φάος, ἔνθα σὺ ῥέζειν,
Ἱερὰ παντογόνοις μοίραις ἄρνας τε καὶ αἶγας,
Κυανέας δ' ἢ ταῖς δ' εἰλειθύιας ἀρέσασθαι,
Γαιδοτόκους θυέεσσιν ὅπῃ θέμις, αὖθι δὲ γαίῃ
Πληθομένῃ χώροις. ὀΐς ἱερεύοιτο μέλαινα
Πάνλευκοι ταῦροι δὲ Διὸς πρὰ βωμὸν ἀγέσθων,
Ἤματι, μὴ δέ τε νυκτὶ, θεοῖσι γὰρ οὐρανίδαισιν
Ἡμέριος πέλεται θυέων τρόπος, ὡς δὲ καὶ αὐτοῖς
Ἱερεύειν, δαίμαλις δὲ βοὸς δέμας ἀγλαὸν Ἥρης
Δεξάσθω νηὸς πρὰ σεῦ, καὶ Φοῖβος Ἀπόλλων,

Ὅςε

Ὅστε καὶ ἠέλιος κικλήσκεται, αἴσια δέχθω
Θύματα, Λητοΐδης καὶ ἀειδόμενοί τε Λα-
τῖνοι
Παιᾶνες, κούροις κούρησί τε νηὸν ἔχοιεν
Ἀθανάτως, χωρὶς δὲ κόραι χόρον αὖται
ἔχοιεν,
Καὶ χωρὶς παίδων ἄρσην στάχυς, ἀλλὰ γο-
νήων
Πάντων ζωόντων τοῖς ἀμφιθαλής ἐτι φύτλη,
Αἱ δὲ γάμου ζεύγλαισι δεδμημέναι ἥματι
κείνῳ,
Γνῦξ Ἥρης παρὰ βωμὸν ἀοίδιμον ἑδριόωσαι,
Δαίμονα λισσέσθωσαν, ἅπασι δὲ λύματα
δοῦναι
Ἀνδράσιν ἠδὲ γυναιξὶ, μάλιστα δὲ θηλυ-
τέραισιν,
Πάντες δ' ἐξ οἴκοιο φερέσθων, ὅσσα κο-
μίζειν
Ἔστι θέμις θνητοῖσιν ἀπαρχομένοις βιότοιο,
Δαίμοσι μειλιχίοισιν ἱλάσματα καὶ μα
κάρεσσιν
Οὐρανίοις, τάδε πάντα τεθησαυρισμένα
κεῖσθαι,
Ὄφρα τελῇ θυμέλῃσι καὶ ἀνδράσιν ἑδριόω-
σιν.
Ἔνθεν πορσύνῃς μεμνημένος ἥμασι δ' ἔστω,

Νυξί τ' ἐπασυτόραισι θεοπροπίους κατὰ θώκους,
Παμπλήθης ἄγυρις· σπουδὴ δ' ἐγέλωτι μεμίχθω
Ταῦτά τοι ἐν φρεσὶ σῇσιν ἀεὶ μεμνημένος, εἶναι
Καί σοι πᾶσα χθὼν Ἰταλὴ, καὶ πᾶσα Λατίνων,
Αἰὲν ὑπὸ σκύπτροισιν ὑπαυχένιον ζυγὸν ἕξει.

Τέλος περὶ Θαυμασίων καὶ Μακροβίων, &c.

ΦΛΕΓΟΝΤΟΣ

ΦΛΕΓΟΝΤΟΣ Ἀπελευθέρου Ἀδριανοῦ καίσαρος περὶ τῶν Ὀλυμπίων.

Δοκεῖ μοι χρῆναι εἰπεῖν τὴν αἰτίαν δι' ἣν τὰ Ὀλύμπια τεθῆναι συμβέβηκεν. Ἐστὶ δὲ ἥδε. Μετὰ Γεῖσον καὶ Πέλοπα, ἔτι δὲ Ἡρακλέα τοῦ πρώτους τὴν πανήγυριν καὶ τὸν ἀγῶνα τῶν Ὀλυμπιάσιν ἐνστησαμένους, ἐκλειπόντων τῶν Πελοποννησίων τὴν θρησκείαν χρόνῳ τινὶ, εἰς ὃν ἀφ' Ἰφίτου ὀλυμπιάδες ὀκτὼ πρὸς ταῖς εἴκοσι καταριθμοῦνται εἰς Κόροιβον τὸν ἠλεῖον, καὶ ἀμελησάντων τῶν ἀγῶνος, στᾶσις ἐνέστη κατὰ τῆς Πελοποννήσου. Λυκοῦργος δὲ ὁ Λακεδαιμόνιος, υἱὸς ὢν τῶν Πρυτανέως, τῶν Εὐρόπου, τοῦ Σώσου, τοῦ Προκλέως, τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου, τοῦ Κλαιοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέους, καὶ Δηιανείρας, καὶ Ἴφιτος ὁ αἴμονος, ὡς δὲ ἔνιοι Γραξωνίδου ἑνὸς τῶν ἀφ' Ἡρακλέους ἠλεῖος. καὶ Κλεοσθένης ὁ Κλεονίκου Γεισάτης βουλόμενοι εἰς ὁμόνοιαν καὶ εἰρήνην τὸ πλῆθος αὖθις ἀφικαταστῆσαι, τήν τε πανήγυριν τῆς Ὀλυμπικὴν ἔγνωσαν ἀνάγειν εἰς τὰ ἀρχαῖα νόμιμα, καὶ ἀγῶνα γυμνικὸν ἐπιτελέσαι. στέλλονται

δὴ εἰς δελφοὺς χρησόμενοι τῷ θεῷ, εἴ σφισιν συνεπαινεῖ ταῦτα ποιῆσαι. ὁ δὲ θεὸς, ἄμεινον, ἔφη, ἔσεσθαι ποιοῦσιν. καὶ προσέταξεν ἐκεχειρίαν ἀγγεῖλαι ταῖς πόλεσιν, ταῖς βουλομέναις μετέχειν τοῦ ἀγῶνος· ὧν περιαγγελθέντων κατὰ τὴν ἑλλάδα καὶ ὁ δίσκος ἐγράφη τοῖς ἑλλανοδίκαις, καθ' ὃν ἔδει τὰ ὀλύμπια ἄγειν· Οὐκ ἄγαν δὲ προσιεμένων τὸν ἀγῶνα, ἀλλὰ δυσχεραινόντων τῶν τε Πελοποννησίων, λοιμὸς ἐνθιγενόμενος, καὶ φθορὰ καρπῶν ἐλυμαίνετο αὐτοὺς· οἱ δὲ ἀφεστάντες πάλιν τοὺς περὶ τὸν Λυκοῦργον ἠτοῦντο τοῦ λοιμοῦ παῦλαν καὶ ἴασιν τινά. ἡδὲ Πυθία χρᾶ τάδε·

Ὦ γῆς ἀκρόπολιν πάσης πελοπηΐδα κλεινὴν
Ναίοντες, πρέσβεις τε βροτῶν πάντων καὶ ἄριστοι
Φράζεσθ' ἐξ ἐμέθεν χρησμὸν θεοῦ ὅττι κεν εἴπω.
Ζεὺς ἡμῖν τελετῆς μῆνιν ἔχει ἣν διέχρησεν,
Οὕνεκ' ἀτιμάζοντες ὀλύμπια λᾶσι ἄνακτος
Ζηνὸς· τοῦ πρῶτος μὲν ἰδρύσατο καὶ θέτο τιμὴν
Πεῖσος, καὶ μετὰ τόνδε Πέλοψ ὅτε δημονναῖαν

Ἑλλάδα,

Ἑλλάδα, θῆκε δ' ἔπειτα σροτινὸς ἔπαθλα θανόντι
Οἰνομαίῳ. τρίτατος δ' ἐν τοῖς παῖς Ἀμφιτρύωνος
Ἡρακλῆς ἐτέλεσσ' σροτινὴ ἀγῶν' ἐν μήτρῳ
Πέλοπι Ταντα λίδῃ φθιμένῳ· τὸν δήτοθεν ὑμεὶν
Λείπεις καὶ τελετὴν ἧς χωσάμενος κατὰ θυμὸν,
Ὦρσε κακὴν λιμὸν πρὰ τοῖς καὶ λοιμὸν, ὅν ἐστι
Παῦσαι, ἀνορθώσαντας ἑορτὴν τῷ πάλιν αὖθις.

Ταῦτα ἀκούσαντες, ἀπήγγειλαν τοῖς Πελοποννησίοις· οἱ δὲ ἀπιστήσαντες τῷ χρησμῷ ἀπέστειλαν πάλιν καὶ αὐτοὶ ἀκρὸ κοινοῦ δόγματος ὑπὲρ στρεφέστερον ἐπερωτήσαντας τὸν θεὸν περὶ τῶν χρησθέντων. ἡ δὲ Πυθία λέγει τάδε·

Ὦ Πελοποννήσου ναέται περὶ βωμὸν ἰόντες,
Θύετε καὶ πείθεσθε τά κεν μάντεις ἐνέπωσιν,
Ἠλείων πρόπολοι πατέρων νόμον ἰθύνοντες.

τούτων χρησθέντων, οἱ Πελοποννήσιοι ἐπέτρεψαν τοῖς Ἠλείοις ἀγῶνα τιθέναι τῶν Ὀλυμπίων, καὶ ἐκεχειρίαν ἀγγέλλειν ταῖς πόλεσιν· καὶ Ἠλεῖοι δὲ μετὰ ταῦτα βουλόμενοι βοηθεῖν

Λακεδαιμονίοις, ὅτε Ἕλος ἐπολιόρκουν πέμψαντες εἰς Δελφοὺς ἐμαντεύοντο· καὶ χρᾷ ἡ Πυθία τάδε·

Τὴν αὐτῶν ῥύεσθε πάτραν πωλέμου δ' ἀπέχεσθε,
Κοινοδίκου φιλίας ἡγούμενοι ἑλλήνεσσιν
Ἐς' ἂν πεντα έτης ἔλθῃ φιλόφρων ἐνιαυτὸς.

Χρησθέντων δὲ τούτων, τοῦ μὲν πολεμεῖν ἀνέσχοντο, τὴν δὲ Ὀλυμπίων τὴν ὠθιμέλειαν ἐποιοῦντο. καὶ ἐστέφετο μὲν οὐδεὶς τῶν πέντε Ὀλυμπιάδας. τῇ δὲ ἑκτῇ ἔδοξεν αὐτοῖς μαντεύσασθαι, εἰς στέμματα περιθῶσι τοῖς νικῶσι. καὶ πέμπουσι τὴν βασιλέα Ἴφιτον εἰς θεοῦ, ὁ δὲ θεὸς ἔφη τάδε·

Ἴφιτε μήλειον καρπὸν μὴ θῇς ὠθὶ νίκῃ,
Ἀλλὰ τὸν ἄγριον ἀμφιτίθει καρπώδη ἐλαιῶν
Ὃς νῦν ἀμφέχεται λεπτοῖσιν ὑφασαμασ' ἀραχνης.

Παραγενόμενος οὖν εἰς τὴν Ὀλυμπίαν πολλῶν ἐν τῷ τεμένει κοτίνων ὄντων εὑρὼν ἕνα περιεχόμενον ἀραχνίοις, περιῳκοδόμησεν αὐτὸν, καὶ τοῖς νικῶσιν ἐκ τούτου ἐδόθη ὁ στέφανος. πρῶτος δ' ἐστεφανώθη Δαϊκλῆς Μεσσήνιος τῇ ἑβδόμῃ Ὀλυμπιάδι στάδιον ἐνίκα.

ΑΠΟΛ-

ΑΠΟΛΛΩΝΙΟΥ

ἱστορίαι θαυμάσιαι.

ΒΟΛΟ Ἐπιμενίδης ὁ κρὴς λέγε- α'
ται ὑπὸ τοῦ πατρὸς ⊙ τὴν ἀ-
δελφὸν τοῦ πατρὸς ἀφικόμενος
εἰς ἀγρὸν πρόβατον ἀγαγεῖν εἰς
τὴν πόλιν, καταλαβόσης αὐ-
τὸν νυκτὸς παλλάξαι τῆς τέϊδος. καὶ καταμεῖναι
θεῶν ἔτη ἑπτὰ καὶ πεντήκοντα, καθάπερ ἄλλοι τε
πολλοὶ εἰρήκασιν, ἐπὶ καὶ Θεόπομπος ἐν ταῖς ἱστο-
ρίαις, ἐπιφέρων τὰ κατὰ τόπους θαυμάσια. Ἐπέ-
στη συμβῆναι ἐν τῷ μεταξὺ χρόνῳ τοῦ μὴ οἰκείους
τοῦ Ἐπιμενίδου ἀφθαρῆναι. αὐτὸν δὲ ἐγρηγορέναι τοῦ
ὕπνου, ζητεῖν ἐφ' ὅ ἀφικέσθαι πρόβατον. μὴ εὑρόν-
τα δὲ, φροῦδαι εἰς τὸν ἀγρόν. ὑπολάμβανε δὲ ἐγ-
γύρθαι τῇ αὐτῇ ἡμέρᾳ, ἣπερ ἔδοξεν κατακοιμᾶσθαι.
καὶ καταλαβὼν τὸν ἀγρὸν πεπραμένον, καὶ τῷ
σκυλεῖ ἀλαγμένῳ ἀπαίρειν εἰς τὴν πόλιν. καὶ εἰ-
σελθὼν εἰς τὴν οἰκίαν ἐκεῖθεν πάντα ἔγνω, οἷς
⊙ τὰ πρὸ τοῦ χρόνου, καθ' ὃν ἀφανὴς ἐγένετο.
λέγουσι δὲ οἱ Κρῆτες, ὡς φησιν Θεόπομπος, ἐλθόν-
τα αὐτὸν ἐναντίον τοκήσασθαι ἀφθαρῆναι. λέ-
γεται δὲ πρὸς τοῦ αὐδοῦς τάτε καὶ ἄλλα οὐκ
ὀλίγα παραδοξα. Ἀκουέτω δὲ ἱστορεῖται β'
τὸν Προικοννήσιον, ἔν τινι γραφείῳ τῶν Προικοννήσου

τελευτήσαντα ἐν τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ ἐν Σικελίᾳ ὑπὸ πολλῶν θεωρηθῆναι γράμματα διδάσκοντα, ὅθεν πολλάκις αὐτῷ τὸ εἰκὸς συμβαίνοντα, καὶ πορφανοῦς γυναικὸς ἀπὸ πολλῶν ἐτῶν, καὶ πυκνότερον ἐν τῇ Σικελίᾳ φανταζομένου, οἱ Σικελοὶ ἱερόν τε κατεσκεύασαν αὐτῷ, καὶ ἔθυσαν ὡς ἥρωϊ. Περὶ δὲ Ἑρμοτίμου τοῦ Κλαζομενίου τοιαῦτά τινα μυθολογεῖται. Φασὶν γὰρ αὐτοῦ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος πολλαζομένην, ἀποδημεῖν ἐπὶ πολλὰ ἔτη, καὶ εἰς τόπους γνωρίμους, προλέγειν τὰ μέλλοντα ἀποβήσεσθαι, οἷον ὄμβρους μεγάλους καὶ ἀνομβρίας, ἔτι δὲ σεισμούς τε καὶ λοιμούς, καὶ πρατηλήσια, τοῖς σώμασιν κρίνειν. τὴν δὲ ψυχὴν καθάπερ εἰς ἔλυτρον διὰ χρόνων τινῶν εἰσδεχομένην, διεγείρειν τὸ σῶμα. τοῦτο δὲ αὐτοῦ πολλάκις τοιούτου, καὶ τῆς γυναικὸς αὐτολαὰς ὑπ' αὐτοῦ ἐχούσης, ὅτε μέλλοι χωρεῖσθαι, μηδένα ἐᾶν τοῦ σώματος, μηδὲ πίνα τῶν πολιτῶν, μηδ' ἄλλον ἀνθρώπων εἰσελθόντες τινὲς εἰς τὴν οἰκίαν, καὶ ἐκλιπαρήσαντες τὸ γύναιον ἐθεώρησαν χαμαὶ κείμενον γυμνὸν τὸν Ἑρμότιμον ἀκίνητον. οἱ δὲ πῦρ λαβόντες κατέκαυσαν αὐτὸν, οἰόμενοι τῆς ψυχῆς πραγνομένης, καὶ μηκέτι ἐλεύσης ὅπου εἰσδύσεται, παντελῶς στερήσεσθαι τοῦ ζῆν, ὅπερ καὶ συνέπεσεν. γ'

πεσεν. Τὸν μὲν οὖν Ἑρμότιμον Κλαζομένιοι τι-
μῶσι μέχρι τοῦ νῦν, καὶ ἱερὸν αὐτοῦ καθίδρυται,
εἰς ὃ γυνὴ οὐκ εἰσέρχεται, διὰ τὴν προειρημένην
αἰτίαν. Ἄβαρις δὲ ἐξ ὑπερβορέων ἦν μὲν δ'
καὶ αὐτὸς τῶν θεολόγων· ἔγραφε δὲ καὶ χρησ-
μοὺς ταῖς χώραις περιερχόμενος, οἵ εἰσιν μέ-
χρι τοῦ νῦν ὑπάρχοντες. προέλεγεν δὲ καὶ οὗτος
σεισμοὺς, καὶ λοιμοὺς καὶ τὰ παραπλήσια,
καὶ τὰ γιγνόμενα κατ' οὐρανόν. λέγεται δὲ
τοῦτον εἰς Λακεδαίμονα παραγενόμενον, εἰρηκέναι
τοῖς Λάκωσι κωλυτήρια θῦσαι τοῖς θεοῖς, καὶ ἐκ
τούτου ὕστερον ἐν Λακεδαίμονι λοιμὸς οὐκ ἐγέ-
νετο. Τὰ δὲ περὶ Φερεκύδην τοσαῦτά τι- ε'
να ἱστορεῖται. Ἐν Σκύρῳ ποτὲ τῇ νήσῳ διψῶντα,
ὑδάτιον αἰτῆσαι παρά τινος τῶν γνωρίμων· τὸν
δὲ πιόντα εἰπεῖν σεισμὸν ἐσόμενον ἐν τῇ νήσῳ με-
τὰ τρίτην ἡμέραν· τούτου δὲ συμβάντος, μεγά-
λην δόξαν αὐτὸν ἀπενέγκασθαι. πάλιν δὲ εἰς Σά-
μον πορευόμενος εἰς τὸ τῆς Ἥρας ἱερὸν, ἰδεῖν
πλοῖον εἰς τὸν λιμένα καθαγόμενον, καὶ εἰπεῖν
τοῖς συνεστῶσιν, ὡς οὐκ εἰσελεύσεται ἐντὸς τοῦ λι-
μένος. ἔτι δὲ λέγοντος αὐτοῦ καταῤῥαγῆναι
γνόφον, καὶ τέλος ἀφανισθῆναι τὴν ναῦν.
Τούτοις δὲ ὑπηγενόμενος Πυθαγόρας Μνη- ς'
σαρχοῦ υἱὸς, τὸ μὲν πρῶτον διεπονεῖτο περὶ τὰ
μαθήματα, καὶ τοὺς ἀριθμοὺς· ὕστερον δέ ποτε

καὶ τ' Φορεκύδ' τὸ ρα τοῦ ποιήσας ὄνκ ἀπέσχ. καὶ
ρ' τῷ γοντίου πλοίῳ ἐσερχομένῳ φορτίον ἔχον-
τι, μὴ τὴν πρατυχόντων δυσμενῶν σωτὸν εἶν,
κατελθεῖν ἀμφ' ὀν φόρον, ἐξῶτα τοῦτον εἰπεῖν·
μικρὸν τοίνυν φανήσεται ὑμῖν σῶμα ἄγον τὸ
πλοῖον τοῦτο· πάλιν δ' οὐ Καυλωνία, ὡς φησιν
Ἀριστοτέλης, γράφων περὶ αὐτοῦ πολλὰ μὲν
καὶ ἄλλα λέγει, καὶ ὅτ' οὐ τυρρηνία φησὶ
σάκκους τινὰς θανασίμου ὄφεως, αὐτὸς σάκκων, ἀ-
ποκτεῖναι. καὶ πῶς γνομένου δὲ σαφῶς τοῖς
Πυθαγορείοις προφανῆ. διὸ καὶ εἰς Μεταπόν-
τιον ἀπῆρεν, ἕως μηδενὸς θεωρηθεὶς καὶ ὑπὸ
τοῦ κατὰ Σάμον ποταμοῦ ἀμφαίνων ξυὶ ἄλ-
λοις, ἤκουσε φωνῆς μεγάλης ὑπὲρ ἀνθρώπων·
Πυθαγόρα χαῖρε. σοῦ δὲ πρῶτος πολιδεὴς
γενέσθαι. ἐφάνη δέ ποτε καὶ ἐν Κρότωνι, ἐν
Μεταποντίῳ τῇ αὐτῇ ἡμέρᾳ ἢ ὥρᾳ. ἐν θεάτρῳ
ὃ καθήμενός ποτε ἐξανίσταται, ὡς φησιν Ἀρι-
στοτέλης, καὶ τὸ ἰδιον μηρὸν πρίφαινε τοῖς κα-
θημένοις εἰς χρυσοῦν. λέγεται δὲ πολλὰ αὐτοῦ καὶ
ἄλλα τινα παράδοξα. Ἡμεῖς δὲ μὴ βουλόμενοι
μεταγράφειν ἔργον ποιεῖν, αὐτοῦ τὸν λόγον
κατεπαύσαμεν. Ἀριστοτέλης δ' ἐν τοῖς φυ-
σικοῖς προβλήμασιν οὐ πολὺ τὸν φυτείαν τῆς
κριθῆς γινομένους, χλωρότερα ἴσχυν καὶ τὰ
σώματα μᾶλλον, ἢ πολὺ τὸν πυρὸν κατασχολε-
μένους.

μένους. Ἄνδρων ἐν τῇ δ', τῶν πρὸς φι- η'
λιππον θυσιῶν κορώνῃ ἐν τῇ Ἀττικῇ εἰς τὴν ἀ-
κρόπολιν οὐδεμία ἑώραται εἰσερχομένη. κα-
θάπερ οὐδὲ ἐν Πάφῳ περὶ τὰ θυρώματα τὰ
τῆς ἀφροδίτης μυῖα ἐφισταμένη. Ἀριστο- θ'
τέλης δὲ ἐν τοῖς φυσικοῖς προβλήμασί φησιν, οἱ
μονοσιτοῦντες πικρότερα τὰ ἤθη ἔχουσιν μᾶλ-
λον, ἢ οἱ δὶς τροφαῖς χρώμενοι. Θεόπομπος ι'
δὲ ἐν τοῖς θαυμασίοις ἐν τῷ ἀγῶνι τῶν Ὀλυμπίων
πολλῶν ἠθιπολαζόντων ἱκτίνων ἐν τῇ πανη-
γύρει, καὶ διασυριζόντων τὰ διαφερόμενα κρέα τῶν
ἱεροθύτων ἀθιγῆ μένειν. Ἀριστοτέλης δὲ ἐν νο- ια'
μίμοις βαρβαρικοῖς τῆς Καρίας σκορπίοι γίνονται,
οἱ τοὺς μὲν ξένους πατάξαντες, οὐ λίαν ἀδικοῦσι·
τοὺς δὲ ἠθιχωρίους περὶ αὐτὰ ἀγρυπτείνουσιν. Πε- ιβ'
ρὶ Βαβυλῶνα δὲ διαβάντι τὸν Εὐφράτην πο-
ταμὸν, ὀφίδια γίγνεται, καὶ τοὺς μὲν ξένους
τύπτει, τοὺς δ' ἐντοπίους οὐκ ἀδικεῖ. Ἐν τοῖς ιγ'
κατὰ τόπους μυθικῷ ἐν Ἁλικαρνασσῷ θυσίας τι-
νὸς τοῖς Διΐ τῷ Ἀσκραίῳ συντελουμένης ἀγέ-
λην αἰγῶν ἄγεσθαι πρὸ τοῦ ἱεροῦ καὶ ἵστασθαι.
τῶν δὲ κατευχῶν συντελεσθεισῶν, προβαίνειν
μίαν αἶγα ὑπὸ μηδενὸς ἀγομένην, καὶ προ-
σέρχεσθαι τοῖς βωμῷ. τὸν δὲ ἱερέα λαβόμε-
νον αὐτῆς, καλλιερεῖν. Φύλαρχος ἐν τῇ ιδ'
ἡ, τῶν ἱστορικῶν, καὶ κατὰ τὸν Ἀράβιον φησὶ

κόλπον

κόλπον πηγὴν εἶναι ὕδατος, ἴξ οὗ εἴ τις τοὺς
πόδας χρίσειεν, συμβαίνειν εὐθέως ἐντείνεσθαι τὸν
πολὺ τὸ αἰδοῖον. καὶ τινῶν μὲν, μὴ δ' ὅλως
συστέλλεσθαι, τινῶν δὲ μετὰ μεγάλης κακοπα-
ιε' θείας καὶ θεραπείας ἀποκαθίστασθαι. Σκυτίνος
δὲ ὁ Χῖος τὴν Βρεττανικὴν νῆσον λέγει σταδίων
εἶναι τετρακοσίων τὸ περίμετρον· γίγνεσθαι δὲ
ἐν αὐτῇ τὰ γενήματα ἀπύρηνα, οἷον τὰς ἐλαίας
πυρῆνας μὴ ἔχειν, μηδὲ βότρυς γύγαρτον, μηδὲ
ιϛ' τὰ ἐμφερῆ τούτοις. Θεόφραστος δὲ ἐν τῇ πε-
ρὶ τῶν φυτῶν πραγματείᾳ, τὴν θαψίαν ῥί-
ζαν, ἣ οἱ ἰατροὶ χρῶνται, ἐάν τις σὺν κρέασιν
ἑψήσῃ, τὰ πολλὰ ἐν γίγνεσθαι, ὥστε ἐκ τοῦ ἀγ-
ιξ' γείου μηκέτι δύνασθαι ἐξαιρεθῆναι. Κτη-
σίας πρὸς Ἰνδοῖς ξύλον γενέσθαί φησιν, ὃ καλεῖ-
ται πάρυβον· τοῦτο ἐφ' ἑαυτὸ ἕλκει πᾶν τὸ προσ-
κομισθὲν αὐτῷ, οἷον χρυσὸν, ἄργυρον, κασσίτε-
ρον, χαλκὸν, καὶ τἄλλα μεταλλικὰ πάντα.
ἕλκει δὲ καὶ τὰ συνέγγυς ἱστάμενα στρουθία. ἐὰν δὲ
μεῖζον ἦ τὸ ξύλον, καὶ αἶγας, καὶ πρόβατα, καὶ
ιη' τὰ ὁμήλικα ζῷα. Φύλαρχος ἐν κ, ἱστο-
ριῶν, ἐκ τῆς Ἰνδικῆς φησὶν ἐνεχθῆναι λευκὴν
ῥίζαν, ἣν κόπτοντες μεθ' ὕδατος καταπλάτ-
τειν τοὺς πόδας· τοὺς δὲ καταπλασθέντας ἄν-
δρας τῆς συνουσίας λήθην ἴσχειν, καὶ γίγνεσθαι
ὁμοίους εὐνούχοις. Διὸ καὶ ἔτι ἀνήβων ὄντων κα-
ταχρίουσι,

τα χιόνος, μὴ μέχρι θανάτου ὀκ ἐπαίρουσιν.

Ἡρακλείδης δὲ ὁ Ποντικὸς, οὐ τοῦ πολὺ τῶν οὐ τῇ Ἑλλάδι πόλεων, καὶ τὸν Ἠλίου ὄρος φύεσθαί φησιν ἄκανθαν ἱκανὴν ὑποζυγίου φόρτον, ἧς ὃν καρπὸν ἐὰν τις τρίψας μετ' ἐλαίου καὶ ὕδατος, χρήσῃ τὸ αὐτὸ ἢ ἄλλου σῶμα χειμῶνος ὄντος, ὀκ ἐπιθήσεται τῷ ῥύγει. Κτησίας δὲ οὐ τῇ δευτέρᾳ βίβλῳ, κυμήλους πινὰς οὐ τῇ χώρᾳ γίνεσθαι, ἃς ἔχειν τρίχας πρὸς μιλήσια ἔριον τῇ μαλακότητι· ὀκ δὲ τούτων τοὺς ἱμάντας μὴ τοὺς ἄλλους διαφέρειν τοὺς ἐθνικοὺς φόρτου. Τῶν προτετηρημένων δ' ἐστὶ, τὸ τὰ δίχηλα μόνα τῶν ζώων ἐς τοὺς θυσίους πόδας ἀσφαλάλους ἔχειν· ἀφορίζουσι πρὸς αἰτίαν Ἀριστοτέλης οὐ τοῖς φυσικοῖς προβλήμασιν, ὅτι τοῖς θυσίοις καὶ ὀκ ἐμπροσθίοις. Οὐδὲν μᾶλλον ἡ φύσις ἐποίησεν. Σωζεσθαι δὲ οὐ τοῦ βίου καὶ δι' μηδὲν τῶν κερασφόρων ζώων ἀφροσύνην· ἀφορίζουσι δὲ καὶ τούτων πρὸς αἰτίαν Ἀριστοτέλης οὐ τοῖς προβλήμασιν. Θαυμαστὸν δὲ καὶ δι' ἣν Ἠλίου ἐμπαίζειν ἡμᾶς, τὸ δὲ πῦρ μηδ' ὅλως, μὴ τὸ τὸν ἀσβέμαντα μὴ θερμαίνειν πυρούμενον. Ὁ μάγνητα λίθον ἡμέρας μὲν οὔσης ἕλκειν· νυκτὸς δὲ ἧττον, ἢ δὲ ὅλως ἕλκειν. Εὔδοξος δὲ ὁ Ῥόδιος πολὺ πρὸς τὸ Κελτικὸν εἶναί τι ἔθνος φησὶν, ὃ πρὸς ἡμέραν οὐ βλέπειν, πρὸς δὲ νύκτα ὁρᾶν.

ιδ'

ιε'

κ'

κα'

κβ'

κγ'

κδ'

Ἀριστο-

κο' Ἀριστοτέλης οὐ τῷ πρωΐ μέλλῃς Ἄνδρων φησὶν Ἀργεῖος ἐαθίων πολλὰ ἢ ἅλμυρὰ ἢ ξηρὰ δι' ὅλου τοῦ βίου ἄδιψος ⊙ ἄπορος διετέλεσεν. ἐπὶ δὲ τοῦ ρυθμὸς εἰς Ἄμμωνα δὴ τὸν αὐτὸν ὁδὸν, ἅλμη τε ξηρὰ διτόμων, ὃ προσηνέγκατο ὑγρόν. τοῦτο δὲ

κς' ἐφύλαξε δι' ὅλου τοῦ βίου. Ἀριστοτέλης δὲ οὐ τοῦ πρωΐ τὸν ζωῆς ἢ θανάτου φησὶν, τὸ χαλώντων τε καὶ συσκληρύνων τὸν καρδίαν, ζῆν. Οὐκ ἐπὶ δὲ διώρισεν ποίαν αὐτῶν, ἢ πῶς χρησίμην, ἢ πῶς οὐ νόσον.

κζ' Ἀριστοτέλης δὲ οὐ τοῖς ζωϊκοῖς (δύο γάρ εἰσιν αὐτῶν πραγματεῖαι, ἡ μὲν περὶ ζώων, ἡ δὲ περὶ τῶν ζωϊκῶν) οἱ φθεῖρες φησὶν ἐν τῇ κεφαλῇ ἐν ταῖς μακραῖς τῶν φλεγμονώδεσι νόσοις, μελλόντων τελευτᾶν τῶν παρόντων. ἀλλ' ὡς τὰ πρόσω κεφάλαια εὐεισκόνητα, πολλοὶ πότε τῆς κεφαλῆς.

κη' Ἀριστοτέλης ἐν τοῖς ζωϊκοῖς, ὁ ῥὺς φησὶν ἐν τοῖς ὠταρίοις γινόμενος, πηρὸς ὢν, ὅτ' ἂν τελευτᾶν μέλλωσιν ἐν ταῖς μακραῖς νόσοις, γλυκὺς γίνεται, τοῦτο δὲ (φησὶν) πρατετήρηται ὡς πολλῶν γινόμενον ἀχρόδρωκα ⊙ τὴν αἰτίαν τοῦ γινομένου,

κθ' ἐν τοῖς φυσικοῖς προβλήμασιν. Θεόφραστος ἐν τῇ περὶ φυτῶν πραγματείᾳ, ἐὰν αἱ μῆτραι φησὶ πεπίωσιν ἀρίστου λαχάνου ἐν ὕδατι βεβρεγμένου,

λ' καταντλεῖσθαι τὰς ἡμέρας. Ἀρίστοξενος ὁ μουσικὸς τεταρταίζοντας πρὸ ἐλαίνου φησὶν βοτάνου μετὰ ἐλαίου τριβομένου, ἢ συγ-

χρί-

χρισμένων πρὸ τῆς λήψεως ἀχλύφ τὸ πάθος. λα΄
Θεόφραστος ἐν τῷ περὶ φυτῶν τὰ πρόβατά φησιν τὰ ἐν τῷ Πόντῳ τὸ ἀμίνθιον νεμόμενα, ἂν μὴ ἔχῃ χολήν. λβ΄
Θεόφραστος ἐν τῷ περὶ φυτῶν, ἐν Ἰνδοῖς μὴ γίνεσθαι, μήτε ὀρέβινθον, μήτε φακόν, μήτε κύαμον. λγ΄
Ἔτι Θεόφραστος ἐν τῷ ζ΄, περὶ φυτῶν, τὸν Βακτριανὸν ὁδὸν ἐν πᾶσι κώμαις πυρὸν γίνεσθαι ὅλως δύγκνιν, ὥστε πυρῆνος ἐλαίας τὸ μέγεθος ἔχειν. λδ΄
Ὁ αὐτὸς φιλόσοφος ἐν Ὀλυμπίᾳ τῇ Ζακυνθίᾳ σημαινομένη φησὶ ζεῖδ· σίτῳ δύγκνιτερον ποιεῖ φαίνεσθαι τὸν τον. *
Τῶν πρατεπημένων ὄσι δὲ καὶ τοῦτο, τὰς ἐγκύους τῶν γυναικῶν ζωωχῶς ὠλησιάζοντας τοῖς ἀνδράσιν, δύκπως καὶ ἀκαιρον παιδίτως πίκτειν· εἶρηκεν δὲ τοῦτο καὶ Ἀριστοτέλης, ἐν τῇ ια, τῶν ἱστοριῶν. λε΄
Τάκης ἐν ζῷδ πρὶ λίθων· ὁ Καρύστιος (φησὶν) λεγόμενος λίθος ἀδιαφόρως ἔχει ὁμοίως ἢ χρώσεως, ὅτι δὲ νίφεται ἢ ὑφαίνεται χρεκμαγεῖα. γρέφονται ὃ ὅτι αὐτοῦ ἐν λυχνίᾳ· καίεται δὲ καιόμενα λαμπρὰ καὶ ἀκατάκαυστα· τῶν δὲ κεκμαγείων τῶν ῥυπαινομένων ἡ ὠλυσις γίνεται, ὁ δὲ ὕσσατος, ἀλλὰ κλιματὶς κάεται, ὃ τότε μὲν κεκμαγεῖον ἐπιπόθεσ, ἢ ὁ μὴ ῥύπος ἀφορᾶται, αὐτὸ δὲ λυκνὸν ὃ καθαρὸν γίνεσ ὑπὸ τοῦ πυρός, ἢ πάλιν εἰς τὰς αὐτὰς ἐγχρήζει χρείας. τὰ δ' ἐλλύχνια μένει τὸ ἅπαντα χρόνον ἀκηρασκόμενα καιόμενα μετ' ἐλαίου.

ἐλαίου· δοκιμαζει δὲ καὶ τοὺς πτωματιζομένους ἡ ὀσμὴ τοῦ ἐλλυχνίου καιομένου. γίγνεται δὲ ὁ λίθος οὗτος, καὶ ἐν Καρυστῷ μὲν, ἀφ' οὗ καὶ τοὔνομα ἔλαβεν. πολὺς δὲ ἐν Κύπρῳ καταβαινόντων ἀπὸ τοῦ Γεράνδρου ὡς ἐπὶ Σόλους πορευομένοις, ἐν ἀριστερᾷ τοῦ Ἐλμαίου ὑπὸ κάτω πετρῶν. καὶ κατὰ τὸ πανσέληνον αὔξεται, καὶ πάλιν φθίνοντος τοῦ σεληνίου μειοῦται καὶ ὁ λίθος.

λξ' Ἀριστοτέλης ἐν Φυσικοῖς προβλήμασιν, τὴν κυρτὴν βαρεῖα ἡ ἀναπνοὴ διὰ τοῦ στόματος ἐξέρχεται. ἀπὸ δέδωκεν δὲ καὶ τοῦ γιγνομένου τὴν αἰ-

λη' τίαν. Εὔδοξος δὲ ὁ Κνίδιος ἐν τῷ ζ, τῆς περιόδου, ἐστὶν ἐπὶ πᾶσι τὴν ἐν Λιβύῃ τὶ ἔθνος εἶναι, ὁ ὑπὲρ ἄνω, Σύρτεων δὲ καὶ Χαρχηδόνος πρὸς ἀνατολὰς κείμενοι, οἱ καλοῦνται Γύζαντες, οἵ τινες τέχνην ἐπιτηδεύουσιν, τὰ ἄνθη συλλέγοντες τὰ ἐν τοῖς τόποις μέλι ποιεῖν τοσοῦτον καὶ τοιοῦτον, ὥστε γίγνεσθαι οἷον τὸ ὑπὸ τῶν

λθ' μελισσῶν γιγνόμενον. Ἀριστοτέλης ἐν ταῖς ἐκλογαῖς τὴν ἀνατομῶν φησὶν, ὄφις ὤφθη ἐν Γάφῳ πόδας ἔχων δύο, ὁμοίους χερσαίῳ κρο-

μ' κοδείλῳ. Ἀριστόξενος ὁ Μουσικὸς ἐν τῷ Τελέστου βίῳ φησὶν, ᾧ περ ἐν Ἰταλίᾳ συνεκύρησεν, ὑπὸ τὸν αὐτὸν καιρὸν γίγνεσθαι πάθη ὧν ἐν εἶναι καὶ τὸ περὶ τὰς γυναῖκας γενόμενον ἄτοπον. ἐκστάσεις γὰρ γίγνεσθαι τοιαύτας, ὥστε ἐνίοτε

καθη-

καὶ θημῶνας καὶ διφτιάσας, ὡς καλοιῶτός πο-
νθ ὑπακούειν, εἶτα ἐκπιδᾶν ἀκαταχέτους
γιγνομένας, ⊙ τρέχειν ἐκτὸς τῆς πόλεως. μαν-
τευομένοις δὲ τοῖς Λοκροῖς καὶ Ῥηγίνοις τοῦ τ
ἀπαλλαγῆς τῶ πάθους εἰπεῖν τὸν θεόν, παυ-
νας ᾄδειν ἐπαοινὰς δωδεκάτης ἡμέρας ξ'. ὃ θελξ
πολλοὺς γυναῖας παυανοράφους ἐν τῇ Ἰταλίᾳ.
Θεόφραστος ἐν τῷ ἡ, τὴν φυτὴν ἐν σκορπίον βο- μά
τάνιον, οἱ δὲ ἡλύφονον καλοῦσιν ὑδιπαθέμενον
τοῖς σκορπίοις ἐκραίνειν αὐτοῦ δυθέως· τὴν πα-
τετηρημένων ὅτι δυσκατάλυτα ἕλκη γίγνεαι,
ταῖς τε κυούσαις καὶ σωλωνικοῖς καὶ τοῖς κυ-
σοὺς ἔχουσι, μὴ ταῖς γλωσσίν, ὅσαις ἰξίαι περὶ
τοῦ μηρὸς ἔνεστιν. Θεόφραστος ἐν τῷ περὶ φυτῶν μβ'
τοῦ Σόλος τ Κιλικίας, πρὰ τὸν τοῦ ποταμὸν τὸν
λεγόμενον Πίναρον, ὃ μάχη Ἀλεξάνδρου πρὸς Δα-
ρεῖον ἐγένετο, αἱ ῥόαι ἄπυροι γίγνονται· δι' ὅλα
ὃ τὸ βίου κόκκοι τὸ οἰνίζον ἔχουσιν. Ἀριστοτέ- μγ'
λης ἐν τοῖς περὶ ζώων, ἡ μέλισσά φησιν ἀχρι
κάλουσα τὸ κεντρίον ἀχρηνύεται· αἱ δὲ βασά-
ζουσιν ἔξω τὸ σμηνιοῦνθ. Τῶν πρατετηρη- μδ'
μένων ὅτι, τὸ καὶ τοῖς λευκοΐοις ἐνθεῖναι ἢ σεφά-
νοις, ἀφ' νυκτὸς λύχνους πρανακαίειαι, ἵνα ἐς
πλὴν πρόϊκν ταῦτα πραμένει ἀμάραντα. τοῦτο-
σι δὲ τὸ τὸ οἱ σεφανηπλόκοι. Θεόφραστος ἐν μέ

τῇ ἑ, τὴν φυσικῶν αἰτίων φησὶν τὰ κέλυφα τῶν κυάμων περὶ τὰς ῥίζας τὴν δένδρος περιτιθέμενα, ξηραίνειν τὰ φυόμενα· καὶ αἱ κατοικίδιαι δὲ ὄρνιθες συνεχῶς ταῦτα ἐσθίουσαι, ἄτοκοι γίγνονται, ὅθεν καὶ διὰ ταύτην τὴν αἰτίαν, τάχα δὲ καὶ δι' ἄλλας, οἱ Πυθαγόρειοι ἀπηγορεύκασιν τοῦ κυάμῳ χρῆσθαι· καὶ γὰρ πνευματοποιὸν καὶ δύσπεπτον· καὶ τοὺς
μς' ὀνείρους τεταραγμένους ἡμῖν ἐμποιεῖ. Τὰ ὕδνα βροντὴν συνεχῶν γιγνομένων, σκληρότερα γίγνεται, καθάπερ Θεόφραστος ἐν τοῖς
μξ' περὶ φυτῶν εἴρηκεν. Θεόφραστος ἐν τοῦ περὶ φυτῶν φησὶν, ἡ λιβανωτὶς βοτάνη συντιθεμένη μετὰ ἱματίων κολύει σῆτας ἐγγίγνεσθαι· ἄξια δ' ἐστὶν ὠδιστάσεως τὰ εἰρημένα.
μη' Θεόφραστος ἐν τοῦ περὶ ἐνθουσιασμοῦ ἐξειπεῖν. φησὶ γὰρ ἐκεῖνος τὴν μουσικὴν πολλὰ τὴν ὠδὶ ψυχὴν καὶ τὸ σῶμα γιγνομένων παθῶν ἰατρεύειν· καθάπερ λιποθυμίαν, φόβους, καὶ τὰς ὠδὶ μακρὸς γιγνομένας τῆς διανοίας ἐκστάσεις. Ἰᾶται γάρ φησιν ἡ καταύλησις καὶ ἰσχιάδα καὶ ὠδιληψίαν, καθάπερ πρὸς Ἀριστόξενον τὸν μουσικὸν ἐλθόντα χρήσασθαι αὐτὸν τοῦ μαντίου τοῦ τῆς πασιφίλης * δαμωτι ἀδελφῆς, λέγεται τὸν μου-

σικὸν

σικὸν κατασκευὴν ἀχρεῖον ὄντα Θήβαις ὑπὸ
τῶν τῆς σάλπιγγος φωνῶν· ὥστε τοσοῦτον
γὰρ ἐδόκουν ἀκούειν, ὥστε ἀχθομένους, εἰ δέ ποτε
καὶ πολεμικὸν σαλπίσειέ τις, πολὺ χεῖρον πάσχειν μαχομένους· τὸν οὖν κατὰ μικρὸν ὑπ' αὐλῶν προσάγειν· καὶ ὡς ἂν τις εἰκὸς ἐκ προσαγωγῆς ἐποίησεν καὶ τῶν τῆς σάλπιγγος φωνῶν ἀκουομένων· θεραπεύει δὲ ἡ κατάλυσις· καὶ ἐάν τι μέρος τοῦ σώματος νοσήματι ὑπαρχῇ, καταλυομένου τοῦ σώματος, κατάλυσις γινέσθω ἡμέρας ἕως ἐλάχιστα καὶ βραδέως τῇ πρώτῃ ἡμέρᾳ, ἐλαττῶν ὁ πόνος γενήσεται· τῇ δευτέρᾳ· δὲ γιγνόμενον μᾶλλον τῆς καταλύσεως, ὑπερχωρεῖ καὶ ἀλλαχῇ, μάλιστα δὲ οἱ Θήβαις μέχρι τῶν νῦν χρόνων. Θεόφραστος οὖν φησι μ'
εἰ φυτῶν οὖν τῇ ἐκλογῇ τῆς πλιγματείας, Εὔνομος φησὶν ὁ Χῖος ὁ φαρμακοπώλης, ἐλλεβόρου πίνων πλείονα τῶν σεσιν ὑπεναντίαν· καί ποτε ἔφη οὖν μιᾷ ἡμέρᾳ συνῆλθον τοῖς ὁμοτέχνοις, περὶ δύο καὶ εἴκοσι τῶν ἐλαβεν οὖν τῇ ἀγορᾷ καθήμενος, καὶ οὐκ ἀναστὰς ἀπὸ τῶν σκυτῶν· τότε δ' ἀπῆλθεν λέσας καὶ διψῶν, ὥστε ἐώθει, καὶ οὐκ ἀνέμεσεν· τοῦτο δὲ ἔπαξεν οὖν πολυχρονίῳ σωματείᾳ γε-

γονὼς, ἀρξαίμενος ἀπὸ ὀλίγων, ἕως τοσού-
τωνος πόσεως· πάντωνος δὲ τῶν φαρμάκων
αἱ δυνάμεις ἀσθενεστέραι τοῖς συνηθισμένοις,
ἐνίοις δὲ καὶ ἄπρακτοί εἰσιν· ἄξιον δὲ ἐνθυστῆ-
ν σαι πρᾶγμα. Ἀριστοτέλης δὲ ἐν τοῖς φυ-
σικοῖς προβλήμασι εἴρηκεν, τὸνς ἀνθρωπόνς
φησὶνς βεβρωκότα καὶ πεπωκότα τὸνς αὐ-
τὸν σταθμὸνς ἄγειν, καὶ ὅτε νήστης ὑπῆρ-
χεν· πειρᾶται δὲ καὶ τὴν αἰτίαν τοῦ
γιγνομένου ἀποδιδόναι.

Ἀπολλωνίου ἱστοριῶνος θαυμα-
σίωνος τέλος.

ἈΝΤΙΓΌΝΟΥ

ΑΝΤΙΓΟΝΟΥ ΙΣΤΟ-
ριῶν παραδόξων συναγωγὴ.

Ι'μαιος ὁ τὰς Σικελικὰς ἱστο- α
ρίας συγγεγραφὼς, ἐν Ῥηγίῳ
φησὶ τοὺς Λοκροὺς καὶ τοὺς Ῥη-
γίνους ὁρίζοντος Ἄλικος κα-
λουμένου ποταμοῦ, τῶν τεττί-
γων τοὺς μὲν ἐν τῇ Λοκρικῇ ᾄδειν, τοὺς δὲ ἐν τῇ
Ῥηγίνων ἀφώνους εἶναι. Λέγεται δέ τι τούτου
μυθωδέστερον. ἀφικομένων γὰρ εἰς Δελφοὺς κι-
θαρῳδῶν, Ἀρίστωνος μὲν ἐκ Ῥηγίου, παρὰ δὲ
Λοκρῶν Εὐνόμου, καὶ περὶ τοῦ κλήρου πρὸς
ἑαυτοὺς εἰς ἀντιλογίαν ἐλθόντων, ὁ μὲν οὐκ ᾤετο
δεῖν ἐλαττοῦσθαι τῆς ὅλης Ῥηγίνων ἀπρικίας ἐκ
Δελφῶν, καὶ παρὰ τοῦ θεοῦ γεγενημένης· ὁ δὲ
κατέτρεχεν, ὅτι τὸ παράπαν οὐδὲ κιθαρῳδεῖν
καθήκει, παρ' οἷς οὐδ' οἱ τέττιγες ᾄδουσιν. εὐημε-
ρήσαντος γ' οὖν τοῦ Ῥηγίνου ἐν τῷ ἀγῶνι, ἐνίκη-
σεν Εὔνομος ὁ Λοκρὸς, παρὰ τοιαύτην αἰτίαν·
ᾄδοντος αὐτοῦ, μεταξὺ τέττιξ ὠδὴ τὴν λύραν
ὠδιστὰς, ἧδεν· ἡ δὲ πανήγυρις ἀνεβόησεν ὠδὴ
τοῦ γεγονότι, καὶ ἐκέλευσεν ἐᾷν. Καὶ β'
ἄλλο δὲ παρὰ τοῖς Ῥηγίνοις τοιοῦτον, ὡς μυθικὸν
ἱστορεῖται, ὅτι Ἡρακλῆς ἔν τινι τόπῳ τῆς χώρας
κατακοιμηθεὶς, καὶ ἐνοχλούμενος ὑπὸ τῶν

πεπίγων, ἤυξατο αὐτοὺς ἀφώνους γενέσθαι.
γ' Καὶ ὁ Κεφαλλωνία δὲ ποταμὸς διέρχεται· καὶ
ὧδε πάλιν μὲν γίνονται πέπιγες, ἐπέκεινα δὲ,
δ' οὔ. Οὐδ' ὁ Σοφίᾳ δὲ οἱ βαστρυχοι φθέγγονται. καὶ μυθῶδες καὶ περὶ τοῖς Σοφιώτοις
ὁ Ἱερμῆς πολὺ οἱ μὲν πολὺ Ἡρακλέους, οἱ δὲ
ε πολὺ Περσέως. Ὁ δὲ Μυρσίλος ὁ τὰ Λεσβιακὰ συγγεγραφὼς, φησὶν· Τῆς Ἀντισσαίας
ὁ ὦ τόπῳ μυθολογεῖται, καὶ δείκνυται ὃ ὁ
πάφος τοῦ τὴν ἐγχωρίων τ τοῦ Ὀρφέως κε-
φαλῆς, τὰς ἀηδόνας εἶναι οὐφωνοτέρας τὴν ἄλ-
ϛ' λων. Πίπροι δ' ἂν τὸ γένος τ ἐκλογῆς, εἰς
οὓς λεγομένους ὁ τῇ Ἀθηκῇ καὶ Βοιωτίᾳ πέρ-
δικας· ὧν τοὺς μὲν οὐφώνους, τοὺς δὲ τελέως
ζ' ἰσχνοφώνους ὁμολογεῖται γίνεσθαι. Ἴδιον ὃ ἡ
τὸ πολὺ τὰ ἔντορα τ πτηνῶν· τὰ μὲν γὰρ τ
κρίων ὄσιν ἄφωνα, τὰ ὃ τ θηλειῶν, οὐφωνα· ὅ-
θεν ἡ ὄν τοκτὼ τοὺς ἐρικύναι, πό-
λυ πρόγμονα φανταχῶ ὁ πολυπόν ὄντα,
Ἐ πὰ ὃ θηλυτόρων οἴων ἐτανύασαν χορδάς.
η Οὐχ ἥπον ὃ τότε θαυμαστὸν, καθωμιλημένον ὃ
μᾶλλον, τὸ πολὺ τ ὁ τῇ Σικελίᾳ ἄκανθαν, τ
καλαμένῳ κάκτον· εἰς ὃ ὅταν ἔλαφος ἐμβῇ ὁ
πραυμαπαθῇ, τὰ ὀστᾶ ἄφωνα ὁ ἄχρησα πρὸς
αὐλοὺς ἰσχνόθεν καὶ ὁ Φιλήτας ὑφῄρησα τὸ περὶ αὐτῆς, εἰπάς·

Γηρύ

γηρύσασθαι ὑπὸ νεφρῶν ἀχρὶ ζωλὺ ὀλέσασα, cc
ὀξείης κάκτος τύμμα φυλαξαμένη. cc

Ἐν δὲ ταῖς τῶν Λημνίων νήσοις ταῖς καλουμέναις Νέαις, γέρδικες γίνονται, ἀλλὰ κἂν ἴδῃ τις, ἀπόλλυνται· ἔνιοι δὲ τοῦτο πεπειράκασι δεύτερον ἱστορῆσαι, ὅτι κἂν ἴδωσι τὴν χώραν. Τῆς δὲ Βοιωτίας ἐχούσης πολλαχοῦ πολλοὺς ἀπωλλυμένους, οὐ τὴν Κορωνικὴν μόνην γίνεσθαι τοῦτο τὸ ζῷον, ἀλλὰ κἂν εἰσαχθῇ τελευτᾷ, καθάπερ αἱ Λιβυκαὶ οἱ Κρῆτες καὶ Μιλήσιοι· ὅτε δὲ ζῶον θανάσιμον ὄφιν τὴν χώραν φέρειν. Ἐν Ἀσυπαλαίᾳ δὲ ὄφις γίνονται, ὅτε δὲ οὐ Ἰθάκῃ λαγῷς· ὅτε δὲ οὐ Λιβύῃ, οὓς ἀγρίας, ὅτ' ἔλαφοι ὅτε δὲ οὐ Ῥηνίᾳ τῇ πρὸς Δήλῳ, γαλῆ· ὅτε δὲ μελεαγρὶς ὅτε μοῦ ἄλλη ὁρᾶται. Ἀμελησαγόρας δὲ ὁ Ἀθηναῖος ἐν τῇ Ἀττικῇ συγγεγραφὼς, ὅ φησι κεραόνιον πεσεῖσθαι πρὸς τὴν ἀκρόπολιν, ὅτ' ἔχει ἂν εἰπεῖν ἑωρακώς ὅτε εἶς. Ἀποδίδωσιν δὲ τὴν αἰτίαν μυθικῶς. φησὶν γὰρ Ἡφαίστῳ δοθείσης τῆς Ἀθηνᾶς, συγκαταπλεῖσθαι αὐτῷ ἀφαγιοθῆναι· τὸν δὲ Ἥφαιστον εἰς γῆν πεσόντα, προϊέσθαι σπέρμα· τῇ δὲ γῇ ὕστερον αὐτοῦ ἀναδοῦναι Ἐριχθόνιον· ὃν τρέφειν τὴν Ἀθηνᾶν, καὶ εἰς κίστην καθείρξαι, καὶ παραδοῦναι ταῖς Κέκροπος παισὶν, Ἀγραύλῳ, καὶ Πανδρόσῳ καὶ Ἕρσῃ, καὶ ἐπιτάξαι μὴ

ἀνοίγειν τὴν κίστην, ἕως ἂν αὐτὴ ἔλθῃ· ἀφι-
κομένην δὲ εἰς Πελλήνην, φέρειν ὄρος, ἵνα ἔρυμα
πρὸ τῆς ἀκροπόλεως ποιήσῃ· τὰς δὲ Κέκρο-
πος θυγατέρας τὰς δύο, Ἄγραυλον καὶ Πάν-
δροσον, τὴν κίστην ἀνοίξαι, καὶ ἰδεῖν δρακόν-
τας δύο περὶ τὸν Ἐριχθόνιον· τῇ δὲ Ἀθηνᾷ φε-
ρόνσῃ τὸ ὄρος, ὃ νῦν καλεῖται Λυκαβηττὸς, κο-
ρώνην φησὶν ἀπαντῆσαι, καὶ εἰπεῖν, ὅτι Ἐριχθό-
νιος ἐν φανερῷ· τὴν δὲ ἀκούσασαν, ῥίψαι τὸ
ὄρος ὅπου νῦν ἐστι· τῇ δὲ κορώνῃ δὴ τὴν κακαγ-
γελίαν, εἶπειν, ὡς εἰς ἀκρόπολιν οὐ θέμις αὐτῇ
ιγ' ἔσται ἀφικέσθαι. Οὐδὲ κατὰ τὴν Σκυθῶν
χώραν, ὁμοίως δὲ οὐδὲ κατὰ τὴν Ἠλίαν ἡμίονος οὐ
ιδ' γεννᾶται. Θεόπομπος δέ φησιν κατὰ τοὺς
ἐν Θράκῃ χαλκιδεῖς, εἶναί τινα τόπον τοιοῦ-
τον, εἰς ὃν ὅτι μὲν ἂν τῶν ἄλλων ζῴων εἰσέλθῃ,
πάλιν ἀπαθὲς ἀπέρχεται· τῶν δὲ κανθάρων
οὐδεὶς διαφεύγει· κύκλῳ δὲ στρεφόμενοι, τελευ-
τῶσιν αὐτοῦ. Διὸ δὴ καὶ τὸ χωρίον ὀνομάζεσθαι
ιε' Κανθαρόλεθρον. Ἐν δὲ Κραννωνι τῆς Θετ-
ταλίας, δύο φασὶν μόνον εἶναι κόρακας· διὸ καὶ
ὑπὸ τῶν προξένων τῶν ἀναγραφομένων τὸ πα-
ράσημον τῆς πόλεως (καθάπερ ἐστὶν ἔθιμον
πᾶσι προσπαρατιθέναι) ὑπογράφονται δύο
κόρακες ἐφ' ἁμαξίου χαλκοῦ, διὰ τὸ μηδέπο-
τε πλείους τούτων ὦφθαι. Ἡ δὲ ἅμαξα προσπα-
ρατίθεται

ραίκειται διὰ τοιαύτην αἰτίαν. ξένον γὰρ ἴσως
ἂν καὶ τοῦτο φανείη. Ἐστὶν αὐτοῖς ἀνακειμένη χαλ-
κὴ, ἣν ὅτ' ἂν αὐχμὸς ᾖ σείοντες ὕδωρ αἰτοῦν-
ται τὸν θεὸν, καί φασι γίνεσθαι. τούτου δέ τι ἰ-
διώτερον ὁ Θεόπομπος λέγει. φησὶν γὰρ ἕως
τούτου διατρίβειν αὐτοὺς ἐν τῷ Κράννωνι, ἕως ἂν
τοὺς νεοττοὺς ἐκνεοττεύσωσιν· τοὺς δὲ ποιήσαντας,
τοὺς μὲν νεοττοὺς καταλείπειν, αὐτοὺς δὲ ἀνιέναι.
Καὶ ἐν Ἐκβατάνοις δὲ καὶ ἐν Γέρσαις Κτησίας ιϛ'
ἱστορεῖ παραπλήσιόν τι τούτοις· διὰ δὲ τὸ αὐτὸν
πολλὰ ψεύδεσθαι παρελείπομεν τὴν ἐκλογήν.
καὶ γὰρ ἐφαίνετο τερατώδης. Μύρσιλος ιζ'
δὲ ὁ Λέσβιος, ἐν τῷ ὄρει φησὶν Λεπετύμνῳ, ἱερὸν
Ἀπόλλωνος εἶναι, καὶ Ἡρωῶν Λεπετύμνου,
ἐφ' ᾧ καθάπερ ἐν τῷ κραννωνι δύο μόνον εἶναι
κόρακας, ὄντων οὐκ ὀλίγων ἐν τοῖς πλησίον τό-
ποις. Ἐν Λάτμῳ δὲ τῆς Καρίας φησὶν Ἀ- ιη'
ριστοτέλης τοὺς σκορπίους, ἐὰν μὲν τὴν ξένων τινὰ
πατάξωσιν, μετρίως λυπεῖν· ἐὰν δὲ τὴν ἐγχω-
ρίων, ἕως θαναύτου κατατείνειν. Τῶν δὲ Λι- ιθ'
βύων καλοῦνται Ψύλλεοί τινες, παρ' οἷς ἀνά-
παλίν τι γίνεται τούτου· ὑπὸ γὰρ τῶν ἀσπίδων
οὗτοι μὲν οὐδὲν πάσχουσι τυπτόμενοι· τὴν δὲ
λοιπῶν, οὐκ ἔστιν ὅστις διαφεύγει δηχθείς. Ἐν κ'
Λυκίᾳ φύεταί τι αἰγόλεθρον, ὃ τὴν μὲν ἐγχω-
ρίων αἰγῶν οὐδεμία γεύεται· ξένη δ' ὅτ' ἂν ἐμπέ-

ση, καὶ διὰ τὴν ἀγνοιαν φαγὴν τῆς βοτάνης, ἀπόλλυται, διαφθαρεῖσα ὑπ' ἀκαλεμβόλου ἐλάνου τῆς κιλίσσης. κά

Τῆς δὲ Καρυσίας καὶ τῆς Ἀνδρίας χώρας ἐστὶν ὡλησίον νῆσος, ἡ καλεμβόλη Γύαρος· οὐ ταῦθα οἱ μῦες διατρώγουσιν τὸ σίδηρον. ὧν ὑπὸ τὴν νήσῳ θανάσιμός ἐστιν ἡ ἄχερδος. κἂν εἰς ἄλλο δώδεκα ἐμβληθῇς, ἀφανίνῃ. κβ

Ποιεῖ δὲ αὐτὸ καὶ ὁ τῆς τρύγονος κώτερον τῆς θαλαττίας· καὶ ἐὰν εἰς τὸν ὀδόντας ἅψῃ, καταση πει. κγ

Διὰ δὲ ἡν αἰτίαν τὰς συγκρίσεις καὶ ἀλλοιώσεις τῶν ζώων, ἔπι δὲ γενέσεις. Οἷον αἰγύπῳ τὸν βοῶν ἐὰν καταρύξῃς αὐτὸς ποιν, ὥστε αὐτὰ τὰ κέρατα τῆς γῆς ὑπερέχειν, εἶτ' ὕστερον ἀφαιρίσῃς, λέγουσιν μέλιτας ἐκπέτεσθαι. σαπέντα γὰρ αὐτὸν, εἰς τὸ διαλύεσθαι τὸ ζῶον· ᾧ φαίνεται φιλήτας προσέχειν, ἵνα ὡς ὧν αὐτὸς ἐργον· προσαγορεύῃ οὕτω αὐτὰς βουγενεῖς, λέγων·

Βουγενέας φάμενος προσεβήσατο μακρὰ μελίσσας.

Φασὶ δὲ καὶ τὸν ἱροκλέα λεγειν σκορπίους γεννᾶν, καὶ ἐκ τῶν ἵππων σφῆκας γεννᾶσθαι. καί τις Ἀρχέλαος Αἰγύπτιος τῶν οἱ ὠδὶ γεγράμμασιν ἐξηγουμένων τὰ παραδοξα τοῦ Πτολεμαίου, περὶ μὲν τῶν σκορπίων, οὕτως εἴρηκεν·

Εἰς

Εἰς ὑμᾶς προκέδηλον ἀφροθήμονον ὀχλύῃ
Σκληρῆσι, ἢ πάντα ζωοδετοῦσα φύσις.

Περὶ δὲ τῶν σφηκῶν·

Ἐκ νέκυος ταύτῃ ἵππος γράψαθε γενέθλιον.
Σφῆκα σοὶ ὁ ζώων οἷα πίθηκος φύσις.

Ὁ δὲ Ἀριστοτέλης καὶ ἐκ τῶν συμβεικότων φησὶν σκληρότερον γίνεσθαι. Οὐχ ἧττον δὲ κδ'
τούτου θαυμάσια τὰ φθαρτικὰ τῶν ὠφελητικῶν, οἷον ὁ κανθάρου, ὃς ἂν ἐνδύσῃ δι' ὠτὸς, ἀποσφαλεὶς καταπίπτει· ἀποπλησίασε γὰρ ὅτι φασὶν, ὡς ὁ Ἀριστοτέλης καταγράφει, φαρμάκου· ὡσαύτως δὲ ἡ φώκη μετὰ τὸ τεκεῖν δι' ὠτὸς· καὶ γὰρ τοῦτο πρὸς τὴν αὐτῆς ἀσφάλειαν χρήσιμον· τὰς δὲ ἵππους τὸ ἀποφυόμενον τοῖς ἐμβρύοις ἱππομανὲς ἀποτίθεσθαι· γίνεσθαι δὲ τοῦτο ἀπὸ τοῦ μετώπου, καὶ πρὸς πολλὰ ζητεῖσθαι· τὴν δὲ ἔλαφον δι' δεξιὸς κέρατος καταρύεσθαι· εἶναι δὲ καὶ τοῦτο ἀνθρώποις χρήσιμον· ταῦτα μὲν οὖν εἴτε κβ' προαίρεσιν, εἴτε κατὰ τύχην οὕτως ἔχειν, πολλῆς ἔστιν ἀποδόσεως δεόμενα. Ὁ δὲ λύπης κε
ἐν τῷ χειμῶνι τὰς πολιτείας αὐτοῦ κατεσθίει· τοῦτ' ἔστιν,

Ἥματι χειμερίῳ ὅτ' ἀνόστεον οὐ πόδα τέμνει.

Τῶν δὲ γαλεῶν τὰ ἔμβρυα ἀφιᾶσι ἐκ τῆς κοιλίας

κοιλίας, νέμεται· καὶ πάλιν ἐκδύεται κατὰ τὸ
στόμα. Ἡ δὲ λέαινα δὶς οὐ κυΐσκεται· τοῖς γὰρ
ἐμβρύοις, ὥς φησιν Ἡρόδοτος, συνεκβάλλει
τὰς μήτρας· Οὐδὲ ἔχιδνα δὶς· ἐσθίει γὰρ
κς' αὐτῆς τὴν κοιλίαν, τὰ ἔμβρυα. Ἡ νυκ-
τερὶς δὲ μόνον τῶν ὀρνέων ὀδόντας ἔχει, καὶ μαστοὺς καὶ
γάλα. Φησὶ δὲ ὁ Ἀριστοτέλης καὶ Φώκην καὶ Φάλαιναν
ἴσχειν γάλα· τούτων δὲ οὐχ ἧττον καταγράφει τε-
ρατῶδες· ἐν λήμνῳ γάρ φησιν ἀμελχθῆναι
γάλα τράγου τοσοῦτον, ὥστε προφαλίδας γε-
κξ' νέσθαι. Τῶν δὲ ἀλκυόνων οἱ ἄρσενες κηρύλοι κα-
λοῦνται· ὅτ' ἂν οὖν ὑπὸ τοῦ γήρως ἀσθενήσω-
σι, καὶ μηκέτι δύνωνται πέτεσθαι, φέρουσιν αὐ-
τοὺς αἱ θήλειαι ἐπὶ τῶν πτερῶν λαβοῦσαι· καί
ἐστι τὸ ὑπὸ τῶν Ἀλκμᾶνος λεγόμενον τούτῳ συνῳ-
κειωμένον· φησὶν γὰρ ἀσθενὴς ὢν δὲ τὸ γῆρας,
καὶ τοῖς χοροῖς οὐ δυνάμενος συμπεριφέρεσθαι,
οὐδὲ τῇ τῶν παρθένων ὀρχήσει.

Οὔ μ' ἔτι παρθενικαὶ μελιγάρυες ἱερόφωνοι
Γυῖα φέρειν δύναται, βάλε δὴ βάλε κη-
ρύλος εἴην.
Ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι
ποτῆται,
Νηλεὲς ἦτορ ἔχων ἀλιπόρφυρος εἴαρος ὄρνις.

κη' Ἱκανῶς δὲ καὶ ὁ ποιητὴς λέγεται παρὰ πάντων
ἐπιμελὴς καὶ πολυπράγμων εἶναι· ὁ γὰρ
ὀδυσ-

δυνασθῆς ἰωδιφερομένων αὐτῷ τὴν κωφῶν οἰ τῇ πρὸς τὴν συβώτιν ἀναβάσει,

τῶν ἀνθρωπείων· τί μοι ζῆν ἐν κόσμῳ κενῷ θεῶν, ἢ προνοίας κενῷ. Ἀλλὰ καί εἰσι, καὶ μέλει αὐτοῖς τῶν ἀνθρωπείων. καὶ τοῖς μὲν κατ' ἀλήθειαν κακοῖς, ἵνα μὴ περιπίπτῃ ὁ ἄνθρωπος, ἐπ' αὐτοῦ τὸ πᾶν ἔθεντο. τῶν δὲ λοιπῶν εἴ τι κακὸν ἦν καὶ τοῦτο ἂν προΐδοντο, ἵνα ἐπῇ πάντη τὸ μὴ περιπίπτειν αὐτῷ. ὃ δὲ χείρω μὴ ποιεῖ ἄνθρωπος, πῶς ἂν τοῦτο βίος ἀνθρώπου χείρω ποιήσειεν; οὔτε δὲ κατ' ἄγνοιαν, οὔτε εἰδυῖα μὲν, μὴ δυναμένη δὲ προφυλάξασθαι, ἢ διορθώσασθαι ταῦτα, ἡ τῶν ὅλων φύσις παρεῖδεν ἄν. οὔτε ἂν τηλικοῦτος ἥμαρτεν ἤτοι πρὸς ἀδυναμίαν, ἢ πρὸς ἀτεχνίαν, ἵνα τὰ ἀγαθὰ καὶ τὰ κακὰ ἐπίσης τοῖστε ἀγαθοῖς ἀνθρώποις καὶ τοῖς κακοῖς πεφυρμένως συμβαίνῃ. Θάνατος δέ γε καὶ ζωὴ, δόξα καὶ ἀδοξία, πόνος καὶ ἡδονὴ, πλοῦτος καὶ πενία, πάντα ταῦτα ἐπίσης συμβαίνει ἀνθρώπων τοῖς τε ἀγαθοῖς καὶ τοῖς κακοῖς, οὔτε καλὰ ὄντα, οὔτε αἰσχρὰ, οὔτ' ἄρ' ἀγαθὰ, οὔτε κακά ἐστι. Πῶς πάντα ταχέως ἐναφανίζεται, τοῦ μὲν κόσμῳ αὐτὰ τὰ σώματα, τοῦ δὲ αἰῶνι αἱ μνῆμαι αὐτῶν, οἷα ἐστὶ τὰ αἰσθητὰ πάντα, καὶ μάλιστα τὰ ἡδονῇ δελεάζοντα, ἢ τοῦ πόνῳ φοβοῦντα, ἢ τοῦ τύφῳ διαβεβοημένα, πῶς εὐτελῆ καὶ εὐκαταφρόνητα, καὶ ῥυπρὰ, καὶ εὔφθαρτα, καὶ νεκρὰ. νοερᾶς δυνά-

θλιωάμενος, ἐφιστάναι πῇ εἰσιν ὅτοι ὧλαι αἱ ψυχολήψεις καὶ αἱ φωναὶ, πλὴν δυσδοξίαν. Τί δῆτα ἐστὶ τὸ ἀφθαρτεῖν, ἢ ὅτι ἑαυτῆς αὐτὸ μόνον ἐδεῖ, καὶ τῷ μορίσμῳ τῆς ἐννοίας, ἀφαλύσῃ τὰ ἐμφαντα ζόμενα αὐτῷ, ὐκέτι ἀλλό τι ψυχολήψεται αὐτὸ εἶναι ἢ φύσεως ὄργον. Φύσεως δ' ὄργον ἐστὶς φοβεῖται, παιδίον δῆ. δοκεῖ μήτοι οὐ μόνον φύσεως ὄργόν ἐστιν, ἀλλὰ καὶ συμφέρον αὐτῇ. πῶς ἅπεται θεοῦ ἀνθρωπος, καὶ κατὰ πάντα μέρη, καὶ ὅταν πῶς ἔχῃ ἀφακέηται τὸ τοῦ ἀνθρώπου δοκεῖ μόριον; ἀδὲν ἀθλιώτερον τῶν ζώντα κύκλῳ ἐκπεριόρχομένου, καὶ τὰ νόρθεν γᾶς φησιν ἐρευνῶντος, καὶ τὰ οὐρανοῦ τὰ πλησίον ἀφὲ τεκμάσεως ἐκτοῦνος, μὴ ἀιαθομένου δὲ ὅτι ἀρκεῖ πρὸς μόνῳ τῷ εἰδέναι ἑαυτὸν δαίμονι εἶναι, καὶ τὸν γνησίως θεραπεύφ. θεράπεία δὲ αὐτοῦ καθαρὸν πάθους ἀφακτηρεῖν, καὶ εὐκαιότητος καὶ δυσαρεστήσεως τῆς πρὸς τὰ ἐκ θεῶν καὶ ἀνθρώπων γινόμενα. Τὰ μὲν γὰρ ἐκ θεῶν αἰδέσιμα δι' ἀρετήν. Τὰ δ' ἐξ ἀνθρώπων φίλα ἀφὰ συγγένειαν, ἔστι δὲ ὅτε καὶ τρόπον τινὰ ἐλεεινὰ, δι' ἄγνοιαν ἀγαθῶν καὶ κακῶν· οὐκ ἐλάττων ἡ πίρωσις αὕτη τῆς τε ἐκ κύνος τοῦ ἀφαιρίνειν τὰ λευκὰ καὶ μέλαινα. Κἂν τειχίλια ἔτη βιῶσεσθαι μέλλῃς, καὶ τοσαυτάκις μύρια, ὅμως μίμνησο, ὅτι

οὐδεὶς

οὐδεὶς ἄλλον ἀπεβάλλει βίον, ἢ τοῦτον ὃν ζῇ· οὐδὲ ἄλλον ζῇ ἢ ὃν ἀπεβάλλει. εἰς ταὐτὸ οὖν καθίστατο τὸ μήκιστον τῷ βραχυτάτῳ. τὸ γὰρ παρὸν, πᾶσιν ἴσον, εἰ καὶ τὸ ἀπολλύμενον, οὐκ ἴσον, καὶ τὸ ἀπεβαλλόμενον, οὕτως ἀκαριαῖον ἀναφαίνεται. οὔτε γὰρ τὸ παρῳχηκὸς, οὔτε τὸ μέλλον ἀπεβάλλοι ἄν τις. ὃ γὰρ οὐκ ἔχει, πῶς ἄν τις τοῦτο αὐτοῦ ἀφέλοιτο; τούτων οὖν τὴν δύο δεῖ μεμνῆσθαι· ἑνὸς μὲν ὅτι πάντα ἐξ ἀϊδίου ὁμοειδῆ, καὶ ἀνακυκλούμενα, καὶ οὐδὲν διαφέρει, πότερον ἐν ἑκατὸν ἔτεσιν, ἢ ἐν διακοσίοις, ἢ ἐν τῷ ἀπείρῳ χρόνῳ τὰ αὐτά τις ὄψεται. ἑτέρου δὲ, ὅτι καὶ ὁ πολυχρονιώτατος, καὶ ὁ τάχιστα τεθνηξόμενος, τὸ ἴσον ἀπεβάλλει. Τὸ γὰρ παρὸν ἐστὶ μόνον οὗ στερίσκεσθαι μέλλει, ὅπερ γε ἔχει, καὶ τοῦτο μόνον. καὶ ὃ μὴ ἔχει τις, οὐκ ἀπεβάλλει.

Ὅτι πᾶν ὑπόληψις, δῆλα μὲν γὰρ τὰ πρὸς τὴν κυνικὸν Μόνιμον λεγόμενα. δῆλον δὲ καὶ τὸ χρήσιμον τοῦ λεγομένου, ἐὰν τις αὐτοῦ τὸ νόστιμον μέχρι τοῦ ἀληθοῦς δέχηται. Ὑβρίζει ἑαυτὴν ἡ τοῦ ἀνθρώπου ψυχὴ· μαλίστα μὲν, ὅταν ἀπόστημα, καὶ οἷον φῦμα τοῦ κόσμου ὅσον ἐφ' ἑαυτῷ γένηται. τὸ γὰρ δυσχεραίνειν τινὶ τὴν γινομένων ἀπόστασίς ἐστι τῆς φύσεως, ἧς ἐν μέρει, ἑκάστου τὴν λοιπῶν φύσεις περιέχονται· ἔπειτα δὲ, ὅταν ἄνθρωπόν τινα ἀπεστραφῇ, ἢ καὶ ἐναντία φέρηται,

φεβήται, ὡς βλαψουσα ὁῖαί εἰσι αἱ τῶν ὀργιζομένων. τρίτον ὑβρίζει ἑαυτὴν, ὅταν ἡσσᾶται ἡδονῆς, ἢ πόνου. τέταρτον, ὅταν ὑποκρίνηται, καὶ ὠδιπλαίστως, καὶ ἀναλήθως τὴ ποιῇ, ἢ λέγῃ. Γέμπτον, ὅταν πρᾶξίν τινα ἑαυτῆ καὶ ὁρμὴν, ἐπ' οὐδένα σκοπὸν ἀφίῃ, ἀλλὰ εἰκῆ καὶ ἀπρακολουθήτως ὁτιοῦν ἐνεργῇ. δέον καὶ τὰ μηκρότατα, κατὰ τὴν ὠδὶ τὸ τέλος ἀναφορὰν γίνεσθαι. τέλος δὲ λογικῶν ζώων τὸ ἕπεσθαι τοῦ τῆς πόλεως καὶ πολιτείας τῆς πρεσβυτάτης λόγῳ καὶ θεσμῷ.

Τοῦ ἀνθρωπίνου βίου, ὁ μὲν χρόνος, στηγμὴ· ἡ δὲ οὐσία, ῥέουσα· ἡ δὲ αἴσθησις, ἀμυστρά· ἡ δὲ ὅλου τοῦ σώματος σύγκρισις, εὔσηπτος. ἡ δὲ ψυχὴ, ῥεμβὸς· ἡ δὲ τύχη, δυστέκμαρτος. ἡ δὲ φήμη, ἄκριτον. συνελόντι δὲ εἰπεῖν, πάντα, τὰ μὲν τοῦ σώματος, ποταμός· τὰ δὲ τῆς ψυχῆς, ὄνειρος καὶ τύφος. ὁ δὲ βίος, πόλεμος, καὶ ξένου ὠδιδημία. ἡ ὑστεροφημία δὲ, λήθη. τὶ οὖν τὸ παραπέμψαι δυνάμενον; ἓν καὶ μόνον φιλοσοφία. τοῦτο δὲ, ἐν τῷ τηρεῖν τὸν ἔνδον δαίμονα ἀνύβριστον, καὶ ἀσινῆ, ἡδονῶν καὶ πόνων κρείσσονα, μηδὲν εἰκῆ ποιοῦντα, μηδὲ διεψευσμένως καὶ μεθ' ὑποκρίσεως· ἀνενδεῆ τοῦ ἄλλον ποιῆσαί τι, ἢ μὴ ποιῆσαι. ἔτι δὲ τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα δεχόμενον, ὡς ἐκεῖθέν

ποθεν

πόθεν ἐρχόμενα, ὅθεν αὐτὸς ἦλθεν. ἢ πᾶσι δὲ τὸν θάνατον ἵλεῳ τῇ γνώμῃ περιμένοντα, ὡς οὐδὲν ἄλλο ἢ λύσιν τῶν στοιχείων, ἐξ ὧν ἕκαστον ζῶσας συγκρίνεται. εἰ δὲ αὐτοῖς τοῖς στοιχείοις μηδὲν δεινὸν ἐν τῷ ἕκαστον διηνεκῶς εἰς ἕτερον μεταβάλλειν, διὰ τί ὑπίδηταί τις τὴν πάντων μεταβολὴν καὶ διάλυσιν; κατὰ φύσιν γὰρ· οὐδὲν δὲ κακὸν κατὰ φύσιν.

Τὰ ἐν Καρνουντῷ.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον γ.

ΟΥΧΙ τοῦτο μόνον δεῖ λογίζεσθαι, ὅτι καθ' ἑκάστην ἡμέραν ἀπαναλίσκεται ὁ βίος, ὁ μέρος ἔλαττον αὐτοῦ καταλείπεται· ἀλλὰ κἀκεῖνο λογιστέον, ὅτι εἰ ὑπὲρ πλέον βιώῃ τις, ἐκεῖνόγε ἄδηλον, εἰ ἐξαρκέσει ὁμοία αὖθις ἡ διάνοια πρὸς τὴν σύνεσιν τῶν πραγμάτων, καὶ τὴν θεωρίας τὴν συντεινούσης εἰς τὴν ἐμπειρίαν τῶν τεθείων καὶ τῶν ἀνθρω-

θρωπείων. Ἐαν γὰρ πραλιρεῖν ἀρξηται, τὸ μὴ
ὀλαπνεῖαθαι, καὶ τρέφεαθαι καὶ φαντάζεαθαι, καὶ
ὁρμᾶν, καὶ ὅσα ἄλλα ζιαῦτα, οὐκ ἀνδέησει. Τὸ
ἢ ἑαυτῷ χρῆαθαι, ὁ τῶν τ' καθήκοντ' ἀριθμὸς
ἀκριβῶν, καὶ τὰ πεφαινόμενα διαρθρῶν, ὁ τι
εἰ αὐτῷ τῷ εἰ ἤδη ἠθικτέον αὐτὸν ἐρισάνθλης,
καὶ ὅσα τοιαῦτα λογισμοῦ συγγεγυμνασμέ-
νου πανυχήζεα, πρὸς ἀποδύνυται. χρὴ δὲ ἐ-
πείγεαθαι, οὐ μόνον τῷ ἐγγυτάτῳ τῷ θανάτῳ
ἐκάστοτε γίνεαθαι, ἀλλὰ καὶ διὰ τὸ τὴν ἀνόη-
σιν τῶν πραγμάτων καὶ τὴν παρακολούθησιν
πρὸς ἀπολήγειν. χρὴ καὶ τὰ τοιαῦτα παφυ-
λάασθαι, ὅτι ὁ τὰ ἰδιγινόμενα τοῖς φύσει γι-
νομένοις, ἔχει τι δύχαρι καὶ ἐπαγωγὸν. οἷον αὐτὸ
ὀπωρινὸν ἀπαρχόμενοι τινα μέρη. καὶ ταῦτα
δὲν τὰ διέχοντα ὅτως καὶ τρόπον τινὰ πρὸς τὸ ἐ-
πάγγελμα τ' ἀρχοποιὸ ἔχοντα, ἁμὶ πρέπει
πως καὶ πεθυμίαν πρὸς ἀ ζοφῶ ἰδίως ἀνα-
κινεῖ. πάλιν τε τὰ σύκα ὁπότε ὡραιότατά ἐδι
κάχνων. ὁ δὲ ταῖς ὀρυττομέναις ἐλαίαις, αὐτὸ
τὸ ἐγγὺς τῆ σήψει, ἰδιόν τι καλλος τῷ καρπῷ
προστίθησιν. οἱ σάχνες ἢ κάτω νεύουτες, καὶ τὸ
τῶ λέοντος ἰδιωκύνιον, ὁ τ' συῶν ἐκ τ' στόμα-
χος ῥέων ἀφρὸς, καὶ πολλὰ ἕτερα κατ' ἰδίαν εἰ τις
ἐνθυμοίη, πόῤῥω ὄντα τ' δυμδδς, ὅμως δὲ τοῖς
φύσει γινομένοις ἐπακολουθῆν, συνεπικοσμεῖ,

καὶ

καὶ ψυχαγωγεῖ. ὥστε εἴ τις ἔχοι πάθος καὶ ἔννοιαν βαθυτέραν πρὸς τὰ ἐν τῷ ὅλῳ γινόμενα, σχεδὸν οὐδὲν οὐχὶ δόξει αὐτῷ καὶ τῶν κατ' ἐπακολούθησιν συμβαινόντων ἡδέως πως διαμυίσεσθαι. οὕτως δὲ καὶ θηρίων ἀληθῆ χάσματα, οὐχ ἧσσον ἡδέως ὄψεται, ἢ ὅσα γραφεῖς, καὶ πλαῖσται μιμούμενοι δεικνύουσιν. καὶ γραὸς καὶ γέροντος ἀκμήν τινα καὶ ὥραν, καὶ τὸ ἐν παισὶν ἐπαφρόδιτον, τοῖς ἑαυτοῦ σώφροσιν ὀφθαλμοῖς ὁρᾷν δυνήσεται. καὶ πολλὰ τοιαῦτα οὐ παντὶ πιθανά, μόνῳ δὲ τῷ πρὸς τὴν φύσιν, καὶ τὰ ταύτης ἔργα γνησίως ᾠκειωμένῳ προσεσεῖται.

Ἱπποκράτης πολλὰς νόσους ἰασάμενος, νοσήσας ἀπέθανεν. οἱ χαλδαῖοι πολλῶν θανάτους προηγόρευσαν εἶτα καὶ αὐτοὺς τὸ πεπρωμένον κατέλαβεν. Ἀλέξανδρος καὶ Πομπήϊος, καὶ Γαΐος Καῖσαρ, ὅλας πόλεις ἀρδὴν τοσαυτάκις ἀνελόντες, καὶ ἐν πρατάξει πολλὰς μυριάδας ἱππέων καὶ πεζῶν κατακόψαντες, καὶ αὐτοί ποτε ἐξῆλθον τοῦ βίου. Ἡράκλειτος, παρὶ τοῦ τοῦ κόσμου ἐκπυρώσεως τοσαῦτα φυσιολογήσας, ὕδατος τὰ ἐν τὸς πληρωθεὶς, βολβίτῳ κατακεχρισμένος ἀπέθανεν. Δημόκριτον δὲ, οἱ φθεῖρες.

Σωκράτην δὲ, ἄλλοι φθεῖρες ἀπέκτειναν. Τί ταῦτα;

τεῦτα; ἐνέβης, ἐπώλησας, καπήλης; ἐκβήθι. ἐμὲν ἐφ' ἕτερον βίον, οὐδὲν θεῶν κωλύον οὐδὲ ἐκεῖ. εἰ δὲ σὺ ἀναισθησία, παύσῃ πόνων καὶ ἡδονῶν ἀνεχόμενος, καὶ λατρεύων τοσούτῳ χείρονι ἢ ἀγγέλῳ. Ἢ τοιοῦτος ὁ ὑπηρετῶν· ὁ μὲν γὰρ νοῦς καὶ δαίμων, τὸ δὲ γῆ καὶ λύθρος. Μὴ κατατείλης τὸ ἐπιπόμενον τῷ βίῳ μόρῳ σὺ ταῖς τοιαῖς ἑτέρων φαντασίαις, ὁπόταν μὴ τῆς ἀναφορᾶς ἐπὶ τὸ κοινωφελὲς ποιῇ. Ἤτοι γὰρ ἄλλου ὄργου ἐστίν. Τοῦτ' ἔστι, φαντάζομαι τί ὁ δεῖνα πράξῃ, καὶ τίνος ἕνεκεν, καὶ τί λέγει, καὶ τί ἐνθυμεῖται, καὶ τί τεχνάζεται, καὶ ὅσα τοιαῦτα ποιεῖ ἀφρενήμεθα τῷ ἰδίῳ ἡγεμονικῷ πράτηρήσεως. Χρὴ μὲν δὴ καὶ ταῦτα καὶ μάτην ἐμοῦ τὰς φαντασίας παρεῖσθαι· πολὺ δὲ μάλιστα τὸ περίεργον, καὶ κακόηθες. καὶ ἐπιτήδειον ἑαυτὸν, μόνα φαντάζεσθαι τοιαῦτα ἐφ' ὧν εἴ τις ἄφνω ἐπανέροιτο, τί νῦν διανοῇ, μετὰ παῤῥησίας πρόχειμα ἂν ἀποκείναιο, ὅπερ, τοῦτο καὶ τόδε. ὡς ἐξ αὐτῆς βούλῃς δῆλα εἶναι, ὅπερ πάντα ἁπλᾶ καὶ βαθεῖα, καὶ ζώου κοινωνικοῦ, καὶ ἀμελοῦντος ἡδονικῶν, καὶ καθάπαξ ἀπολαυστικῶν φαντασμάτων, καὶ φιλονεικίας τινός, καὶ βασκανίας καὶ κακοφίας, καὶ ἄλλου τινός, ἐφ' ᾧ τις ἂν ἐρυθριάσειας ἐσχηκὼς, ὅτι αὐτῷ εἶχες. ὁ γὰρ βίαιος ὁ βίαιος, οὐκ ἐπὶ ὑπολιθόμε-

νος τὸ ὡς ἐν ἀρίστοις ἤδη εἶναι, ἱερεύς τις καὶ ὑπουργὸς θεῶν, χρώμενος καὶ τῷ ἐνδὸν ἱστρυμένῳ αὐτοῦ, ὃ παρέχεται τὸν ἄνθρωπον ἄχραντον ἡδονῶν, ἄτρωτον ὑπὸ παντὸς πόνου, πάσης ὕβρεως ἀνέπαφον, πάσης ἀναίσθητον πονηρίας, ἀθλητὴν ἄθλου τοῦ μεγίστου, τοῦ ὑπὸ μηδενὸς πάθους κατα βληθῆναι, δικαιοσύνῃ βεβαμμένον εἰς βάθος, ἀσπαζόμενον μὲν ἐξ ὅλης τῆς ψυχῆς τὰ συμβαίνοντα, καὶ ἀρνεμόμενα πάντα· μὴ πολλάκις δὲ, μηδὲ χωρὶς μεγάλης καὶ κοινωφελοῦς ἀναγκης φανταζόμενον, τί ποτε ἄλλος λέγει, ἢ πράσσει, ἢ διανοεῖται. μόνα γὰρ τὰ ἑαυτοῦ πρὸς ἐνέργειαν ἔχει, καὶ τὰ ἑαυτῷ ἐκ τῶν ὅλων συγκλωθόμενα διηνεκῶς ἐννοεῖ. κἀκεῖνα μὲν καλὰ παρέχεται, ταῦτα δὲ ἀγαθὰ εἶναι πέπεισται. Ἡ γὰρ ἑκάστῳ νεμομένη μοῖρα συνεμφέρεταί τε καὶ συνεμφέρει. Μέμνηται δὲ, καὶ ὅτι συγγενὲς πᾶν τὸ λογικὸν. καὶ ὅτι κήδεσθαι μὲν πάντων ἀνθρώπων, κατὰ τὴν τοῦ ἀνθρώπου φύσιν ἐστίν. δόξης δὲ οὐχὶ τῆς παρὰ πάντων ἀνθεκτέων, ἀλλὰ τῶν ὁμολογουμένως τῇ φύσει βιούντων μόνον. οἱ δὲ μὴ οὕτως βιοῦντες, ὁποῖοί τινες οἴκοι τε καὶ ἔξω τῆς οἰκίας, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, οἷοι μεθ' οἵωνος φύρονται, μεμνημένος διατελεῖ. οὐ τοίνυνος οὐδὲ τὸν παρὰ τῶν τοιούτων ἔπαινονος ἐν λόγῳ τίθεται, οἵγε

οὐδὲ

οὐδὲ αὐτοῖ ἑαυτοῖς ἀρέσκονται. μήτε ἀκούσιος ἐνέργει, μήτε ἀκοινώνητος, μήτε αὐξέτας, μήτε αὐθελκόμενος, μήτε κομψείας τῶν διανοιάν σου καλλωπίζετω. μήτε πολυρρήμον, μήτε πολυπράγμον ἔσο· ἐπ' ᾧ δ' ἂν σοι θεὸς ἔστω προστάτης ζώου ἄρρεν, καὶ πεισθύπου, καὶ πολιτικοῦ, καὶ Ρωμαίου, καὶ ἄρχοντος, ἀνατεταχότος ἑαυτόν, οἷος αὐ εἴη τις πολεμίων τὸ ἀνακλητικὸν ἐν τῷ βίου δύλυτος, μήτε ὅρκου δεόμενος, μήτε ἀνθρώπου μάρτυρος. Ἐν δὲ τὸ φαυσθὸν, καὶ τὸ ἀπροσδεὲς τῶν ἔξωθεν ὑπηρεσίας, καὶ τὸ ἀπροσδεὲς ἡσυχίας, ᾗ ἄλλοι παρέχουσιν. ὀρθὸν δ' ἂν εἴη χρή, οὐχὶ ὄρθιόν. Εἰ μὴ πρεῖττον δύσεισκεως ἐν τῷ ἀνθρωπίνῳ βίῳ δικαιοσύνης, ἀληθείας, σωφροσύνης, ἀνδρείας, καὶ καθάπαξ τοῦ ἀρκεῖσθαι ἑαυτῷ τῶν διανοιῶν σου ἐν οἷς κατὰ δὲν λόγον τὸ ὀρθὸν πράσσοντά σε παρέχεται, καὶ ἐν τῇ εἱμαρμένῃ, ἐν τοῖς ἀπροαιρέτως ἀρνεμομένοις· εἰ τοίνυν φημὶ πρεῖττον πόρρω, ἐπ' ἐκεῖνο ὑφ' ὅλης τῆς μυχῆς γαστόμενος, τοῦ ἀεὶ σε δύσεισκομένου ἀπόλαυε. εἰ δ' μηδὲν πρεῖττον φαίνεται αὐτῷ τῷ ἐνισρυμένου ἐν σοι δαίμονος, πάσης τε ἰδίας ὁρμῆς ὑποτεταχότος ἑαυτῷ, μὴ τὰς φαντασίας ἐξετάζοντος, καὶ τὴν αἰσθητικὴν πίστεων, ὡς ὁ Σωκράτης ἔλεγεν, ἑαυτὸν ἀφελκυνότος,

καὶ τοῖς θεοῖς εὐχεσθαι τὰ πρέποντα ἑαυτῷ, καὶ τὴν αἰθρώπων πρόνοιαν ποιεῖσθαι· εἰ τούτων πάντα τὰ ἄλλα μικρότερα ἢ βιωτελέστερα θείσεις, μισθὸν χώραν δίδου ἑτέρῳ, πρὸς ὃ ῥέπεσθαι ἅπαξ καὶ ἀποκλίνασθαι, οὐκ ἐπὶ ἀποδιώξεως δὲ ἀγαθὸν ἐκεῖνο δὲ ἴδιον, καὶ δὲ σὺν πρεπούσῃ διωκόμενον. Ἀνάγκη γὰρ ὧδε λογικῷ καὶ πολιτικῷ ἀγαθῷ, οὐ θέμις οὐδὲ ὁποῦν ἕτερον εἶναι· οἷον δὲ πρὸς πολλῶν ἔπαινον, ἢ ἀρχάς, ἢ πλοῦτον, ἢ ἀπολαύσεις ἡδονῶν. πάντα ταῦτα, κἂν πρὸς ὀλίγον ἀναρμόζειν δόξῃ, καταπατήσεν ἄφνω, καὶ πρήνεγκεν. Σὺ δὲ φύσει ἁπλῶς καὶ ἐλευθερίως ἕλου τὸ κρεῖττον, ἢ τούτου ἀντέχου. κρεῖττον δὲ, δὲ συμφορόν. εἰ μὲν δὲ ὡς λογικῷ, σῶζε τήρει. εἰ δὲ δὲ ὡς ζῴῳ, ἀφόβως, ἢ ἀτύφως φύλασσε τὼ κρίσιν μόνον, ὅπως ἀσφαλῶς τῇ ὁρμῇ ἕπηται συνοικούσῃ. μὴ ἐμμένοις ποτὲ ὡς συμφέρον σεαυτῷ, ἃ ἀναγκάσει σέ ποτε τὼ πίστιν παραβῆναι, τὼ αἰδοῖ ἐγκαταλιπεῖν, μισῆσαί τινα, ὑποπτεῦσαι, καταράσασθαι, ὑποκρίνασθαι, ἐπιθυμῆσαί τινος, τοίχων καὶ παραπετασμάτων δεομένου. Ὁ γὰρ τὸν ἑαυτοῦ νοῦν καὶ δαίμονα, καὶ τὰ ἔργα τῆς τούτου αἰρετοῦ προελόμενος, γραφωδίαν οὐ ποιεῖ, ὀ στενάζει, ὀκ ἐρημίας, ὀ πολυπλοκίας δίσεται. Τὸ μέγιστον, ζῆσει, μήτε δίωκον, μήτε φεύ-

τε φθύγγον. κάτοπτρον δὲ ὠδὶ κάλλιον διάστημα χρόνου ζῷου σώματι πρὸς μεμερισμένην τὴν ψυχὴν, ἢ ἐπ' ἔλαττον χρήσεται, ἢ δ' ὅπου αὐτῷ μέλει. καὶ γὰρ ἤδη ἀπαλλάττεσθαι δεῖ, οὕτως βιάτως ἄπεισιν, ὡς ἄλλό τι τὴν αἰδημόνως καὶ κοσμίως ἀπεργάσθαι διαμιλλῶν ἀπεργάσεων. ζῷον μόνον ἐπ' ὄλεθρον τὸν βίον βιαζόμενον, δι' ἄλλην διάνοιαν οὐ τινι τῶν οἰκείων νοερῶν πολιτικῶν ζώων τροπὴν γενέσθαι, οὐδὲν αὖ σὺ τῇ Δημονοίᾳ τῇ κεκλασμένου, καὶ ἐκκεκαθαρμένου πυῶδες, οὐδὲ μιᾷ μεμολυσμένον, οὐδὲ ὑπόπλεων βύρσις, οὐδὲ ἀσκὸν τελῆ τὸν βίον αὐτῷ ἢ κατεφθαρμένη καταλαμβάνει, ὡς αὖ τις εἴποι τῶν τραγῳδῶν πρὸ τοῦ τελέσαι καὶ διαβραμα πίσαι ἀπαλλάττεσθαι. ἔπ δὲ ὀδὲν δύλεον, οὐδὲ κομψόν, οὐδὲ προσδεδεμένον, οὐδὲ ἀπεχλισμένον, οὐδὲ ὑπόδυνον, οὐδὲ ἐμφωλεύον. τῶν ὑπολλαπλασίων διάμιν σέβου. σὺ ταύτην δ' ἂν, ἵνα ὑπόλιμις ζῷ· ἡγεμονικὸν μικτὸν ἐγγένηται ἀνακόλουθον τῇ φύσει, καὶ τῇ τοῦ λογικοῦ ζώου κατασκευῇ. αὕτη δὲ ἐπαγγέλλεται ἀπροπτωσίαν, ἢ τῶν πρὸς ἀνθρώπους οἰκείωσιν, καὶ τῶν τοῖς θεοῖς ἀκολουθίαν. Παύτα δὴ ῥέψας, ταῦτα μόνον τὰ ὀλίγα χώρει. ἢ ἐπ συμμνημόνευε, ὅτι μόνον ζῇ ἕκαστον τὸ πρὸν ζῶον, δι' ἀκαιρίαν τὰ ἄλλα, ἢ βιβίωται, ἢ σὺ ἀδήλω.

μικρὸν μὲν ὂν ὁ ζῆν ἑκάστῳ, μικρὸν δὲ τὸ τῆς γῆς γωνίδιον, ὅσον ζῆν· μικρὸν δὲ καὶ ἡ μακίστη ὑστεροφημία. καὶ αὐτὴ δὲ κ᾽ ὑπ᾽ ἀνθρωπίων ταχίστα τεθνηξομένων, καὶ ὠκ εἰδότων ἑαυτοὺς, ὅτι γε τὸν πρόπαλαι τεθνηκότα. τοῖς δὲ εἰ ἐμμένοις πρασίμασιν ὦ ἐπιπροσέχω, τὸ ὄρον ἢ τὸ ζωογραφικὸν ἀεὶ τοιοῦτος τοῦ ζωπίπτοντος φαντασθῆ, ὥστε αὐτὸ ὁποῖόν ἐστι κατ᾽ οὐσίαν γυμνόν, ὅλον δ᾽ ὅλως διηρημένως ἐλέγξῃ καὶ τὸ ἴδιον ὄνομα αὐτοῦ, καὶ τὰ ὀνόματα ἐκείνων ὧν συνεκρίθη, καὶ εἰς ἃ ἀναλυθήσεται, λέγῃ πρὸ ἑαυτοῦ. ὀδὸν γὰρ ὄντως μεγαλοφροσύνης τοιαύτην, ὡς τὸ ἐλέγχειν ὁδῷ καὶ ἀληθείᾳ ἕκαστον τῶν τῷ βίῳ ζωπιπτόντων διώδευθαι, καὶ τὸ ἀεὶ ὄντως εἰς αὐτὰ ὁρᾶν, ὥστε ζωεπιβάλλῃ ὁποίῳ τινὶ τῷ κόσμῳ, ὁποίαν τινὰ ζῆν χρείαν παρέχομεν, τίνα μὲν ἔχει ἀξίαν ὡς πρὸς τὸ ὅλον, τίνα δὲ ὡς πρὸς τὸν ἄνθρωπον, τοιοῦτόν ὄντα τοῦδε τοῦ λεως τὰ αὐτοτάτης, ἧς αἱ λοιπαὶ τοιαῦδε ὥσπερ οἰκίαι εἰσίν.

Τί ἐστι, καὶ ἐκ τίνων συγκέκειται, καὶ πόσον χρόνον πέφυκε παραμεῖναι ζῆν, ὃ τῷ φαντασίαν μοι νῦν τοιοῦτον, καὶ τίνος ἀρετῆς πρὸς αὐτὸ χρεία; οἷον ἡμερότητος, αὐθρείας, ἀληθείας, πίστεως, ἀφελείας, αὐταρκείας, τῶν λοιπῶν. δὸ δεῖ ἐφ᾽ ἑκάστου λέγειν, ζῆν μὲν

μὴν πρὸς θεοῦ ἥκει, ζῆλος δὲ κατὰ τῶν σύλλεξιν, καὶ τῶν συμμεμορυμένων σύγκλωσιν, καὶ τῶν τοιούτων ζωοτυξίν τε καὶ τυχῶν. ζῆλος δὲ πρὸς τοῦ συμφύλου καὶ συγγενοῦς καὶ κοινωνοῦ, ἀγνοοῦντος μέν τοι ὅτι τι αὐτοῦ κατὰ φύσιν ἐστίν· ἀλλ' ἐμὲ γε ἀγνοῶ. σχέτλιος δὲ ζῆλος χωρὶς αὐτοῦ κατὰ τὸν τῆς κοινωνίας φυσικὸν νόμον, δίκαιος, καὶ δικαίως, ἅμα μέντοι τῷ κατ' ἀξίαν ἐν τοῖς μέσοις συνοχάζομαι.

Ἐὰν δ' πρὸν ἀνεργῆς, ἑπόμενος τῷ ὀρθῷ λόγῳ ἐπισυνδιαμωμένως, ἐρρωμένως, δυμενῶς, μηδὲν πρεμπόρευμα, ἀλλὰ δι' ἑαυτὸν δαίμονα καθαρὸν ἔσῃ τις τηρῆς, ὡς εἰ καὶ ἤδη ἀφοδεῦσαι δέοι, ἐὰν ζῆλος ζωαγῆς μηδὲ ὑπομένων, μηδὲ φθύνων, ἀλλὰ τῇ προύσῃ κατὰ φύσιν ἀνδρείᾳ, καὶ τῇ ὧν λέγεις καὶ φθέγγῃ, ἡρωϊκῇ ἀληθείᾳ ἀρκούμενος, δυζωήσεις. ἔστι δὲ ὁδοὶς ὁ ζῆλος κωλύσαι διαμένων. Ὅσπερ οἱ ἰατροὶ ἀεὶ τὰ ὄργανα ἡσυχίαν πρόχειρα ἔχουσι πρὸς τὰ αἰφνίδια τῶν θεραπευμάτων· οὕτω τὰ δόγματα σὺ ἕτοιμα ἔχε πρὸς τὸ τὰ θεῖα καὶ ἀνθρώπινα εἰδέναι, καὶ πανταχῇ μὲν μικρόταιζον ὄντα ποιεῖν, ὡς τὰ ἀμφοτέρων πρὸς ἄλληλα συνδέσεως μεμνημένον. ὅτε γὰρ ἀνθρώπινόν τι αὖθις τοῦ ἰδίου τὰ θεῖα ζωαναφορᾶς δυπλάξῃς, ὅτε ἔμπαλιν. Μηκέτι πλανῶ, ὅτε τὰ ὑπομνήματά σε μέλλῃς ἀνα-

γινώσκειν, οὔτε τὰς τῶν ἀρχαίων Ῥωμαίων & Ἑλλήνων πράξεις, καὶ τὰς ἐκ τῶν συγγραμμάτων ἐκλογάς, ἃς εἰς τὸ πεῖρασθαι σαυτῷ ἀπετίθεο. ὡδὶ δὲ ἴσθι ἐν ὁδῷ τέλος, καὶ τὰς κενὰς ἐλπίδας ἀφεὶς, σωθῆναι βούλει, εἴ τι σοι μέλει σαυτῷ ὡς ἔξεστιν. Οὐκ ἴσασι τοσαῦτα σημαίνει τὸ κλέπτειν, τὸ σπείρειν, τὸ ὠνεῖσθαι, τὸ ἡσυχάζειν, τὸ ὁρᾶν τὰ πρακτέα, ὃ δὴ ὀφθαλμοῖς γίνεται, ἀλλ' ἑτέρᾳ τινὶ ὄψει. σῶμα, ψυχὴ, νοῦς, σώματος αἰσθήσεις, ψυχῆς ὁρμαὶ, νοῦ δόγματα. Τὸ μὲν τυγχάνειν φαντασικῶς, τῆς βοσκηματικῆς· τὸ δὲ ἐνθυμεῖσθαι ὁρμητικῶς, τῆς θηρίων, καὶ τῆς ἀνδρογύνων, καὶ Φαλαρείδου, καὶ Νέρωνος. τὸ δὲ τὸν νοῦν ἡγεμόνα ἔχειν ἐᾷ τὰ φαινόμενα καθήκοντα, καὶ τῆς θεοὺς μὴ νομιζόντων, καὶ τῆς τοὺς πατέρα ἐγκαταλειπόντων, & τῆς ποιοῦντος τὴν ἐπιδαυρίαν κλίσεσι τὰς θύρας. * Εἰ δὲν τὰ λοιπὰ κοινά ὅσι πρὸς τὰ εἰρημένα, λοιπὸν τὸ ἴδιον ὅσι τοῦ ἀγαθοῦ, φιλεῖν μὲν καὶ ἀσπάζεσθαι τὰ συμβαίνοντα, καὶ συγκλωθόμενα αὐτῷ· τὸν γὰρ οὕτω τῷ σήθει ἰσορυμένον σταίμονα μὴ φύρειν, μηδὲ θορυβεῖν ὄχλῳ φαντασιῶν, ἀλλὰ ἵλεων διαπρεᾶν, κοσμίως ἑπόμενον ὡς θεῷ, μήτε φθεγγόμενόν τι πρὸς τὰ ἀληθῆ, μήτε ἐνεργοῦντα παρὰ τὰ δίκαια. εἰ δὲ ἀπιστοῦσιν αὐτῷ σαυτὸς

ἄνθρωποι

ἀνθρωπον, ὅτι ἁπλοῦς καὶ αἰδήμονος καὶ εὐθύμους βιοῦ, ὅτε χαλεπαίνῃ τινὶ τούτων, ὅτε παρατρέπῃ τὸν ὁδὸν τὴν ἀγούσης ἐπὶ τὸ τέλος τοῦ βίου, ἐφ' ὃ δεῖ ἐλθεῖν καὶ θαρρῶν, ἡσύχιον, εὔλυτον, ἀβιαίως τῇ ἑαυτοῦ μοίρᾳ συμπερασμένον.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙ-νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίων δ'.

Ὁ κύων κυνιστὶ, ὅταν κατὰ φύσιν ἔχῃ, ὅτως ἔσηκε πρὸς τὰ συμβαίνοντα, ὥστε ἀεὶ πρὸς ὃ δυνατὸν καὶ διδόμενον μεταπίπτεσθαι ῥᾳδίως. ὕλαι γὰρ ἐκπεπαγμένῳ ὀδεμίαν φιλεῖ· ὀλλὰ ὁρμᾷ μὲν πρὸς τὰ ἡγούμενα μετ' ὑπεξαιρέσεως, τὸ δὲ ἀνύπεισα γόμενον ὕλῃ ἑαυτῷ ποιεῖ. ὥσπερ τὸ πῦρ, ὅταν ὠθισθῇ τὸ ἐπεμπιπτόντων, ὑφ' ὧν ἂν μικρὸς ἐς λύχνος σβεσθῇ. τὸ δὲ λαμπρὸν πῦρ, τάχιστα ἰδιοποιούσαν ἑαυτῷ τὰ ὠθισθέντα, καὶ ἀναλαβόν, καὶ ἀναναλώσαν ἐκείνων, μεῖζον ἤρθη. Μηδὲν ἀνεργάσιμα ἐκῇ, μηδὲ ἄλλως ἢ κατὰ θεώρημα συμπληρωτικὸν τῆς τέχνης ἐνεργείσθω. Ἀναχωρήσεις αὐτοῖς ἔστω σὺν ἀγροικίας,

καὶ αἰγιαλοὺς, καὶ ὄρη· εἰώθας δὲ σὺ τὰ τοιαῦ-
σα μάλιστα ποθεῖν. ὅλο δὲ τοῦτο ἰδιωτικώτα-
τόν ἐστιν, ἐξὸν ἧς ἂν ὥρας ἐθελήσῃς εἰς ἑαυτὸν ἀ-
ναχωρεῖν. οὐδαμοῦ γὰρ οὔτε ἡσυχιώτερον, οὔτε
ἀπραγμονέστερον ἄνθρωπος ἀναχωρεῖ, ἢ εἰς
τὴν ἑαυτοῦ ψυχὴν· μάλιστ' ὅστις ἔχει ἔνδον τοιαῦ-
τα, εἰς ἃ ἐγκύψας, ἐν πάσῃ εὐμαρείᾳ εὐθὺς
γίνεται· τὴν δὲ εὐμάρειαν οὐδὲν ἄλλο λέγω, ἢ
εὐκοσμίαν. Συνεχῶς οὖν δίδου σεαυτῷ ταύτην
τὴν ἀναχώρησιν, καὶ ἀνανέου σεαυτόν. Βραχέα
δὲ ἔστω καὶ στοιχειώδη, ἃ εὐθὺς ἀπαντήσαντα,
ἀρκέσει εἰς τὸ πᾶσαν αὐτὴν ἀγρυπνῆσαι, καὶ
ἀγρυπέμψαί σε, μὴ δυσχεραίνοντα ἐκείνοις ἐφ' ἃ
ἐπανέρχῃ. Τίνι γὰρ δυσχεραίνεις; τῇ τῶν ἀν-
θρώπων κακίᾳ; ἀναλογισάμενος τὸ κρίμα, ὅτι
τὰ λογικὰ ζῶα ἀλλήλων ἕνεκεν γέγονεν· καὶ ὅ-
τι τὸ ἀνέχεσθαι μέρος τῆς δικαιοσύνης· καὶ ὅτι
ἄκοντες ἁμαρτάνουσι, καὶ πόσοι ἤδη διεχθρεύ-
σαντες, ὑποπτεύσαντες, μισήσαντες; διαδοραθεντες
ἐκτέταντο, τετέφρωντο. παύου
ποτέ. ἀλλὰ καὶ τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις
δυσχεραίνεις, ἀνανεωσάμενος τὸ διεζευγμένον,
ἤτοι πρόνοια, ἢ ἄτομοι, ἢ ἐξ ὅσων ἀπεδείχθη,
ὅτι ὁ κόσμος ὡσανεὶ πόλις. ἀλλὰ τὰ σωματικά
σου ἅψεται; ἔτι ἐννοήσας ὅτι οὐκ ἐνθυμίγνυτο λεί-
ως ἢ τραχέως κινουμένῳ πνεύματι ἡ διάνοια,

ἐπει-

ἐπειδὰν ἅπαξ ἑαυτὴν ἀφελάβῃ, καὶ γνωρίσῃ τὴν ἰδίαν ἐξουσίαν. καὶ λοιπὸν ὅσα περὶ πόνου καὶ ἡδονῆς ἀκήκοας, ὡς συγκατέθου. Ἀλλὰ τὸ δοξάριόν σε περιπαίσει. ἀπιδὼν εἰς τὸ τάχος τῆς πάντων λήθης, καὶ τὸ χάος τοῦ ἐφ' ἑκάτερα ἀπείρου αἰῶνος, καὶ τὸ κενὸν τῆς ἀπηχήσεως, καὶ τὸ εὐματάβολον καὶ ἄκριτον τῶν ἐφ' ἡμῖν δοκούντων, καὶ τὸ στενὸν τοῦ τόπου ἐν ᾧ περιγράφεται. ὅλη τε γὰρ ἡ γῆ στιγμὴ, καὶ ταύτης πόσον γωνίδιον ἡ κατοίκησις αὕτη; καὶ ἐν ταῦθα πόσοι, καὶ οἷοί τινες οἱ ἐπαινεσόμενοι; Λοιπὸν οὖν μέμνησο τῆς ὑποχωρήσεως τῆς εὐ ζῶν τὸ ἀρθρίδιον ἑαυτοῦ, καὶ πρὸ παντὸς μὴ σπῶ, μηδὲ κατεντείνου, ἀλλὰ ἐλεύθερος ἔσο, καὶ ὅρα τὰ πράγματα ὡς ἀνὴρ, ὡς ἄνθρωπος, ὡς πολίτης, ὡς θνητὸν ζῶον. Ἐν δὲ τοῖς προχειροτάτοις εἰς ἃ ἐγκύψεις, ταῦτα ἔστω τὰ δύο. ἓν μὲν, ὅτι τὰ πράγματα οὐχ ἅπτεται τῆς ψυχῆς, ἀλλ' ἔξω ἕστηκεν ἀτρεμοῦντα· αἱ δὲ ὀχλήσεις, ἐκ μόνης τῆς ἔνδον ὑπολήψεως. ἕτερον, δὲ ὅτι πάντα ταῦτα ὅσα ὁρᾷς, ὅσον οὐδέπω μεταβαλλει, ὡς οὐκ ἔτι ἔσται· καὶ ὅσους ἤδη μεταβολαῖς αὐτὸς παρατετύχηκας, συνεχῶς διανοοῦ. ὁ κόσμος, ἀλλοίωσις· ὁ βίος, ὑπόληψις. Εἰ τὸ νεορὸς ἡμῖν κοινὸν, καὶ ὁ λόγος καθ' ὃν λογικοί εὐμεν κοινός· εἰ ζῶν, καὶ ὁ προστακτικὸς

κὸς τῶν ποιητέων, ἢ μὴ λόγος κοινός· εἰ οὖν, καὶ ὁ νόμος κοινός. εἰ οὖν, πολῖται εὐμὲν· εἰ τοῦτο, πολιτεύματός τινος μετέχομεν· εἰ τοῦτο, ὁ κόσμος ὡσανεὶ πόλις ἐστὶ. τίνος γὰρ ἄλλου φήσει τις, τὸ τῶν ἀνθρώπων παῦ γένος κοινοῦ πολιτεύματος μετέχειν; ἐκεῖθεν δὲ ἐκ τῆς κοινῆς ταύτης πόλεως, καὶ αὐτὸ τὸ νοερὸν καὶ λογικὸν καὶ νομικὸν ἡμῖν, ἢ πόθεν; ὥσπερ γὰρ τὸ γεῶδές μοι ἀπό τινος γῆς ἀπομεμέρισται, καὶ τὸ ὑγρὸν ἀφ' ἑτέρου στοιχείου, καὶ τὸ πνευματικὸν ἀπὸ πηγῆς τινος, καὶ τὸ θερμὸν καὶ πυρῶδες ἔκ τινος ἰδίας πηγῆς (οὐδὲν γὰρ ἐκ τοῦ μηδενὸς ἔρχεται, ὥσπερ μήδ' εἰς τὸ οὐκ ὂν ἀπέρχεται) οὕτω δὴ καὶ τὸ νοερὸν ἥκει ποθέν. Ὁ θάνατος τοιοῦτος, οἷον γένεσις, φύσεως μυστήριον, σύγκρισις ἐκ τῶν αὐτῶν στοιχείων εἰς ταυτὰ, ὅλως δ' οὐκ ἐφ' ᾧ ἄν τις αἰσχυνθείη. οὐ γὰρ παρὰ τὸ ἑξῆς τῷ νοερῷ ζώῳ, οὐδὲ παρὰ τὸν λόγον τῆς παρασκευῆς ταῦτα οὕτως ὑπὸ τῶν τοιούτων πέφυκε γίνεσθαι ἐξ ἀνάγκης. ὁ δὲ τοῦτο μὴ θέλων, θέλει τὴν συκῆν ὀπὸν μὴ ἔχειν. ὅλως δ' ἐκεῖνο μέμνησο, ὅτι ἐν τῷ ὀλιγίστου χρόνου καὶ σὺ καὶ οὗτος τεθνήξεσθε· μετὰ βραχὺ δὲ, οὐδὲ ὄνομα ὑμῶν ὑπολειφθήσεται. Ἆρον τὴν ὑπόληψιν, ἦρται τὸ βέβλαμμαι. ἆρον τὸ βέβλαμμαι, ἦρται ἡ βλάβη. ὃ χείρω αὐτὸν ἑαυτοῦ ἄνθρωπον οὐ ποιεῖ, τοῦτο οὐδὲ τὸν βίον

αὐτοῦ

αὐτοῦ χείρω ποιεῖ, οὐδὲ βλάπτει, οὔτε ἔξωθεν, οὔτε ἔνδοθεν. ἠνάγκασται ἡ τοῦ συμφέροντος φύσις τοῦτο ποιεῖν· ὅτι πᾶν τὸ συμβαίνοις, δικαίως συμβαίνει. ὃ ἐὰν ἀκριβῶν παραφυλάσσῃς, εὑρήσεις, οὐ λέγω μόνον κατὰ τὸ ἑξῆς, ἀλλ' ὅτι κατὰ τὸ δίκαιον, καὶ ὡς ἂν ὑπό τινος ἀγρέμοντος καὶ κατ' ἀξίαν. παραφύλασσε οὖν ὡς ἤρξω· καὶ ὅ, τι ἂν ποιῇς, σὺν τούτῳ ποίει, σὺν τὸ ἀγαθὸς εἶναι· καθ' ὃ νενόηται ἰδίως ὁ ἀγαθὸς, τοῦτο ἐπὶ πάσης ἐνεργείας σῶζε. Μὴ τοιαῦτα ὑπολαμβάνε, οἷα ὁ ὑβρίζων κρίνειν ἢ οἷα σε κρίνειν βούλεται. ἀλλὰ ἴδε αὐτὰ, ὁποῖα κατ' ἀλήθειαν ἐστι. δύο ταύτας ἑτοιμότητας ἔχειν ἀεὶ δεῖ, τὴν μὲν, πρὸς τὸ πρᾶξαι μόνον, ὅπερ ἂν ὁ τῆς βασιλικῆς καὶ νομοθετικῆς λόγος ὑποβάλλῃ, ἐπ' ὠφελείᾳ ἀνθρώπων. τὴν δὲ, πρὸς τὸ μεταθέσθαι, ἐὰν ἄρα τις παρῇ διορθῶν καὶ μετάγων ἀπό τινος οἰήσεως. Τὴν μέντοι μεταγωγὴν, ἀεὶ ἀπό τινος πιθανότητος ὡς δικαίου, ἢ κοινωφελοῦς γίνεσθαι, καὶ τὰ παραπλήσια τοιαῦτα μόνον εἶναι δεῖ, οὐχ ὅτι ἡδὺ ἢ ἔνδοξον ἐφάνη. Λόγον ἔχεις; ἔχω. τί οὖν οὐ χρᾷ; τούτου πῶς τὸ ἑαυτοῦ ποιοῦντος, τί ἄλλο θέλεις; Ἐννυπέστης ὡς μέρος ἐναφανισθήσῃ τῷ γενήσαντι· μᾶλλον δὲ ἀναληφθήσῃ εἰς τὸν λόγον αὐτοῦ τὸν σπερματικὸν κατὰ μεταβολὴν. Πολλὰ λιβανωτοῦ βωλάρια ἐπὶ τοῦ

αὐτοῦ

αὐτῶ βωμοῦ, δ' μὴν πρωτέπεσον, δ' δ' ὕστερον. Διαφορᾶ δ' οὐδεμία. Ἐντὸς δέκα ἡμερῶν θεὸς αὐτοῖς δόξεις, οἷς νῦν θηρίοις καὶ πίθηκος, ἐὰν ἀνακάμψῃς ἐπὶ τὰ δόγματα, καὶ τὸν σεβασμὸν τοῦ λόγου, μὴ ὡς μύρια μέλλων ἔτη ζῆν. Τὸ χρεὼν ἐπίρρατον, ἕως ζῆς, ἕως ἔξεστιν ἀγαθὸς γένου. Ὅσην ἀχολίαν κορδαύλῃ ὁ μὴ ἐλέγχων, τί ὁ πλησίον εἶπεν, ἢ ἔπραξεν, ἢ διενοήθη· ἀλλὰ μόνον πρὸς αὐτὸς ποιεῖ, ἵνα αὐτὸ τοῦτο δίκαιον ᾖ, καὶ ὅσιον, ἢ κατὰ τὸν ἀγαθὸν μὴ μέλαν ἡθος τοῦ ἐλεύθερος, ἀλλ' ἐπὶ τῆς ἀκμῆς τρέχῃ ὀρθόν, μὴ διεῤῥιμμένον. Ὁ πρὸς τὴν ὑπερφυᾶ μίσαν ἐπομένου ὑπομένων φαντάζεται, ὅτι ἐκάστου τὴν μεμνημένων αὐτοῦ πάχιστα καὶ αὐτὸς ἀφθανεῖται. Εἶτα πάλιν καὶ αὐτὸς ὁ ἐκεῖνον διαδεξάμενος, μέχρι καὶ πᾶσα ἡ μνήμη ἀπορροῇ. Διὸ ἐπομένων μὴ σβεννυμένων πρέπουσι. Γνῶθον δ' ὅτι ὦ ἀθάνατοι μὴ οἱ μεμνησόμενοι, ἀθάνατος δ' ἡ μνήμη, τί δὴ τοῦτο πρὸς σέ; καὶ δὴν λέγω ὅτι πρὸς τὸν τεθνηκότα, ἀλλὰ πρὸς δὴν ζῶντα. τί ὁ ἔπαινος. θολιὼ ἀρχὴ δ' οἰκησιμίαν τινὰ· πάρδι γὰρ νῦν ἀκαίρως πῶ φυσικῶ δόσιν, ἄλλου τινὸς ἐχόμενον λόγου λοιπόν. Καὶ δ' καὶ ὁπωσοῦν καλὸν, ὑφ' ἑαυτοῦ καλέσθαι, μὴ ἐφ' ἑαυτῷ καταλήγῃ, ὃν ἔχον μόρος ἑαυτοῦ δὴν ἔπαινον· ἄτε γοῦν χεῖρον ἢ κρεῖττον γίνεται.

ται δ' ἐπαινούμενον. τοῦτό φημι καὶ ἐπὶ τῶν κοινότερον καλῶν λεγομένων· οἷον ἐπὶ τῶν ὑλικῶν, καὶ ἐπὶ τῶν τεχνικῶν κατασκευασμάτων. τὸ δὲ δι' ὄντως καλὸν τινὸς χρείαν ἔχει, οὐ μᾶλλον ἢ νόμος, οὐ μᾶλλον ἢ ἀλήθεια· οὐ μᾶλλον ἢ εὔνοια, ἢ αἰδὼς, τί τοῦτον διὰ τὸ ἐπαινεῖσθαι καλόν ἐστιν, ἢ ψεγόμενον φθείρεται; σμαραγδίον γὰρ ἑαυτοῦ χεῖρον γίνεται, ἐὰν μὴ ἐπαινῆται; τί δὲ χρυσὸς, ἐλέφας, πορφύρα, μαχαίριον, ἀνθύλλιον, δενδρύφιον; Εἰ διαμένουσιν αἱ ψυχαὶ, πῶς αὐτὰς ἐξ ἀϊδίου χωρεῖ ὁ ἀήρ· πῶς δὲ ἡ γῆ χωρεῖ τὰ τῶν ἐκ τοσούτου αἰῶνος θαπτομένων σώματα· ὥσπερ γὰρ ἐνθάδε, ἡ τοῦτον πρὸς ἥν τινα ἐπιδιαμονὴν μεταβολὴ καὶ διάλυσις χώραν ἄλλοις νέκροις ποιεῖ, οὕτως αἱ εἰς ἐν ἀέρα μεθυστάμεναι ψυχαὶ, ἐπὶ πόσον συμμείναται μεταβάλλουσι, καὶ χέονται, καὶ ἐξάπτονται, εἰς τὸν τῶν ὅλων σπερματικὸν λόγον ἀναλαμβανόμεναι. καὶ τοῦτον τὸν τρόπον χώραν ταῖς προσυνοικιζομέναις πρέχουσι. Τοῦτο δ' ἄν τις ἀφορείναιτο, ἐφ' ὑποθέσει τῶν τὰς ψυχὰς διαμένειν. χρὴ δὲ μὴ μόνον ἐνθυμεῖσθαι δὲ πλῆθος τῶν θαπτομένων οὕτωσι σωμάτων, ἄλλα καὶ δὲ τῶν ἑκάστης ἡμέρας ἐσθιομένων ζώων, ὑφ' ἡμῶν τε καὶ τῶν ἄλλων ζώων. ὅσος γὰρ ἀριθμὸς καταναλίσκεται, καὶ οὕτωσί πως θάπτεται ἐν τοῖς τῶν

τρεφο-

τρεφομένων σώμασι, καὶ ὅμως δέχεται ἡ χώρα αὐτὴν διὰ τὰς ὑγραμάτωσεις, διὰ τὰς εἰς ἀερώδεις ἢ πυρώδεις ἀλλοιώσεις. πῶς δὲ πῦρου ἡ ἰσονεία τῆς ἀληθείας; διαίρεσις εἰς τὸ ὑλικόν, καὶ εἰς τὸ αἰτιῶδες μὴ ἀπρεπέμενος, δηλ. ὕδη παύσης ὁρμῆς τὸ δίκαιον ἀποδιδόναι. καὶ ὕδη παύσης φαντασίας σώζου τὸ καταληπτικόν. παῦσόν μοι ζωμὸν ζέσαι, ὃ σοὶ βούλεται ὅτι, ὦ κύσμε· ὅδεν μοι πόωρον, ὅδε ὄμμον, τὸ σοὶ βύκαιρον· παῦ μοι καρτὸς, ὃ φέρουσιν αἱ ὧραι. ὦ φύσις, ἐκ σοῦ πάντα, ἐν σοὶ πάντα, εἰς σὲ πάντα. ἐκεῖνο μὴν φησι, πόλις φίλη Κέκροπος. σὺ δὲ οὐκ ἐρεῖς, ὦ πόλις φίλη Διός; ὀλίγα πρὸς φησιν, ἐὰ μέλλῃς βούθυμίσειν· μηδὲν ἄμεινον τοῦ ἀναγκαῖα ποίησον, καὶ ὅσα ὁ τῆς φύσει πολιτικοῦ λόγος αἱρεῖ, καὶ ὡς αἱρεῖ. τοῦτο γὰρ μόνον πρὸς ἀπὸ τοῦ καλοῦ πράσσῃ βούθυμίαν φέρει, δηλαὶ καὶ πρὸς ἀπὸ τοῦ ὀλίγα πράσσῃ. τὰ πολλὰ σα ἢ ὧν λέγομεν μὴ πράσσομεν, οὐκ ἀναγκαῖα ὄντα, ἐὰν τις περιέλῃ, βύσχολώτερος καὶ ἀταρακτότερος ἔσει. ὅθεν δεῖ μὴ πρὸ ἕνεκα ἑαυτῆς σωμιμνήσκειν, μή τι τοῦ ἀναγκαίου. δεῖ δὲ μὴ μόνον πράξεις τὰς μὴ ἀναγκαίας περιμερεῖν, ἀλλὰ καὶ φαντασίας· ὅτως μὴ δὲ πράξεις προέλθουσαι ἐπακολουθήσουσι. πείρασον πῶς σοι χωρεῖ καὶ ὁ τοῦ ἀγαθοῦ ἀνθρώπου βίος,

τῶν

τῶ ἀμβυκημένου μὴ ζῆς ἐπὶ τὴν ὅλην ἀχρειωμένοις, ἀκηρμένου ὑπὸ τῆ ἰδία πλάξει δικαίᾳ καὶ διαθέσει θυμωθεὶς. ἑώρακας ἐκεῖνα· ἴδε καὶ ταῦτα. σεαυτὸν μὴ τάραττε. ἀπόλωλεν σεαυτὸν. ἁμαρτάνει τις; ἑαυτῷ ἁμαρτάνει. συμβεβηκός ζῶι τι καλὸν, ἐπὶ τὴν ὅλην ἀπ' ἀρχῆς ζῶι συγκαθέμαρθε, καὶ σωεκλήθετο πᾶν τὸ συμβαῖνον. τὸ δ' ὅλον βραχὺς ὁ βίος· κερδαντέον τὸ παρόν ζῶν εὐλογίᾳ καὶ δίκῃ, νῆφε καὶ μέτριος. ἡ τοι κόσμος διατεταγμένος, ἢ κυκεὼν, συμφορημένος μὲν, ἀλλὰ κόσμος. ἢ οὖν ζῆ μέτρια κόσμος ὑφίσταται διάταξιν, οὐ δὲ τῷ παντὶ ἀκοσμία; καὶ ταῦτα, ὅτως πάντ' ἐν διακεκριμένων καὶ διακεχυμένων συμπαθῶν. μέλαν ἦθος, ἦλυ ἦθος, πόδισκαλὲς ἦθος, ἀνειῶδες, ἐοσκηματῶδες, παιδαριῶδες, ἐλακικὸν, κήδηλον, βωμολόχον, κατηλικὸν, τυραννικόν. εἰ ξένος κόσμῳ ὁ μὴ γνωρίζων τὰ ἐν αὐτῷ ὄντα, οὐχ ἧττον ξένος, ὁ μὴ γνωρίζων τὰ γινόμενα, φυγὰς ὁ φεύγων τὴν πολιτικὴν λόγον. τυφλὸς ὁ καταμύων τῷ νοερῷ ὄμματι. πωχὸς ὁ ἐνδεὴς ἑτέρου, ᾧ μὴ πάντα ἔχων ἐν ἑαυτῷ τὰ εἰς τὸν βίον χρήσιμα. ἀπόστημα κόσμου ὁ ἀφιστάμενος τῷ χωρίζων ἑαυτὸν τῆς κοινῆς φύσεως λόγου. διαφέρει δυσαρεστεῖν ζῆς συμβαίνουσιν. ἐκείνη μὲν φέρει τοῦτο, ἢ ὃ σὲ ἤνεγκεν. ἀπόχρησαι πόλεως ὁ τὴν ἰδίαν

ψυχὴν τὴν λογικὴν ἀφαιρίζων, μᾶς δ' ὅσης ὁ μὴ χωρὶς κτῶν φιλοσοφῆ, ὁ δὲ χωρὶς βιβλίων, ἄμοιρος ἔστω καὶ ὑπόμνημα. ἄρτους ὀκ ἔχω φησὶ, καὶ ἐμμένω τῷ λόγῳ. ἐγὼ δὲ τροφὰς τὰς ἐκ μαθημάτων ὀκ ἔχω, καὶ ἐμμένω. τὸ τιχνίον ὃ ἐμανθες φίλε, τοῦτο πρόσεχε παύσῃ, ἢ δὲ ὑποβλήτων τὸν βίον διέξελθε, ὡς θεοῖς μὴ ἀδικεῖν τροφὼς τὰ σεαυτοῦ σώματα ἀξ ὅλης τῆς ψυχῆς, ἀνθρώπων δὲ μηδενὸς μήτε τύραννον, μήτε δοῦλον ἑαυτὸν καθίσας. Ἐπινόησον λόγον χάριν τοῦ ἀδικεῖν οἷα τοσαῦτα καιροὺς, ὅλφ ταῦτα σώματα γαμοῦντας, παιδοτροφοῦντας, νοσοῦντας, ἀσθενήσοντας, πολεμοῦντας, ἑορτάζοντας, ἐμπορευομένους, γεωργοῦντας, κολακεύοντας, αὐθαδιζομένους, ζηλοτυποῦντας, ὑποβουλεύοντας, ἀποθανεῖν τινὰς βουλομένους, γογγύζοντας ἐπὶ τοῖς παροῦσιν, ἐρῶντας, θησαυρίζοντας, ὑπατείας, βασιλείας ἐπιθυμοῦντας. ὀκοῦν ἐκεῖνος ὁ τόπος βίος, ὀκ ἐπὶ ὀλίγον. πάλιν ἐπὶ τοῦ καιροὺς τοὺς τραϊανοὺς μετάβηθι· πάλιν τὰ αὐτὰ σώματα. πέθανεν καὶ ἐκεῖνος ὁ βίος. ὁμοίως κὴ τὰς ἄλλας ἐπιγραφὰς χρόνων κὴ ὅλφν ἐθνῶν ἐπιθεώρει κὴ ἐλέγετο πόσοι καὶ τοιοῦτοι, μεταμικρὸν ἔπεσον, κὴ ἀνελύθησαν εἰς τὰ στοιχεῖα. Μάλιστα δὲ ἀναστρεπτέον ἐκείνους οὓς αὐτὸς ἔγνως καὶ ἐσωμένους, ἀφέντας σοιεῖν τὸ κῦ ἴδιαν κατασκευήν. ☉

ζήζου

τούτου ἀπρὶξ ἔχεσθαι, καὶ τούτῳ ἀρκεῖσθαι. Ἀναγκαῖον δὲ ὧδε τὸ μεμνῆσθαι, ὅτι καὶ ἡ ἰδιστροφὴ καθ' ἑκάστην πρᾶξιν, ἰδίαν ἀξίαν ἔχει καὶ συμμετρίαν. οὕτως γὰρ οὐκ ἀγρευσπετήσεις, ἐὰν μὴ ἰδὲ πλέον ἢ προσῆκε περὶ τὰ ἐλαύσω κατὰ γίνη. αἳ πάλαι συνήθεις λέξεις, γλωσσήματα νῦν. οὕτως οὖν καὶ τὰ ὀνόματα τῶν πάλαι πολυϋμνήτων, νῦν τρόπον τινὰ γλωσσήματά ἐστιν. Κάμιλλος, Καίσαρος, Οὐόλεσος, Λεοννάτος. κατ' ὀλίγον δὲ καὶ Σκιπίων, καὶ Κάτων, εἶτα καὶ Αὔγουστος, εἶτα καὶ Ἀδριανὸς, καὶ Ἀντωνῖνος· ἐξήτιλα γὰρ πάντα, καὶ μυθώδη ταχὺ γίνεται. ταχὺ δὲ καὶ παντελῆς λήθη κατέχωσεν. καὶ ταῦτα λέγω ἰδὲ τῶν θαυμαστῶς πως λαμψάντων. οἱ γὰρ λοιποὶ ἅμα τοῦ ἐκπνεῦσαι, ἄϊστοι, ἄπυστοι. Τί δὲ καὶ ἐστὶν ὅλως τὸ ἀείμνηστον; ὅλον κενόν. Τί οὖν ἐστι περὶ ὃ δεῖ σπουδὴν εἰσφέρεσθαι; ἓν τοῦτο, διάνοια δικαία, καὶ πράξεις κοινονικαὶ, καὶ λόγος οἷος μήποτε διαψεύσασθαι, καὶ διάθεσις ἀσπαζομένη πᾶν τὸ συμβαῖνον ὡς ἀναγκαῖον, ὡς γνώριμον, ὡς ἀπ' ἀρχῆς τοιαύτης καὶ πηγῆς ῥέον· ἑκὼν σεαυτὸν τῇ κλωθοῖ συνεπιδίδου, πρέχων συνῆσαι, οἷς τισίποτε πράγμασι βούλεται· πᾶν ἐφήμερον, καὶ τὸ μνημονεῦον, καὶ τὸ μνημονευόμενον, θεωρεῖ διηνεκῶς πάντα κατὰ μεταβολὴν γινόμενα γίνεται· καὶ ἐθίζου ἐννοεῖν,

ὅπ᾽ ὀδὲν ὅτως φιλεῖ ἡ τῶν ὅλων φύσις, ὡς δι᾽ τὰ ὄντα μεταβαλλόντα, καὶ ποιεῖν νέα ὅμοια. σπέρμα γὰρ πρόπον πινὰ πᾶν τὸ ὂν τῦ ὑξ αὐτῦ ἐοικέναι. σὺ δὲ μόνα σπέρματα φαντάζει, τὰ εἰς γλῶ, ἢ μήτραν καταβαλλόμενα· τῦτο ὑλίαν ἰδιωτικὴν. Ἤδη τεθνήξει, καὶ ὅπω ὅτι ἀφλῆς, ὅτε ἀτάραχος, ὅτε ἀνύποπτος τῦ βλαβῆναί σε ἔξωθεν, ὅτε ἵλεως πρὸς πάντας· ὅτι τὸ φρονεῖν σὲ μόνῳ τῷ δικαίῳ πράγειν πρέπει. Τὰ ἡγεμονικὰ αὐτὴν διαβλέπετε, καὶ τῶν φρονίμως, οἷα μὲν φύγουσιν, οἷα δὲ διώκουσιν. Ἐν ἀλλοτείῳ ἡγεμονικῷ κακὸν σὸν ὐχ ὑρίσκει, ὲ ὑ μὲν σὲ πινι τροπῇ καὶ ἑτεροιώσει τῦ πολιέχοντος. πῶς ὃν; ὅπως τὸ πολὶ κακῶν ὑποληπτέον ὑ δὲ. τῦτο ὃν μὴ ὑποληπτέον ἑτῶ, καὶ πάντα ὧν ἔχει· κἂν τὸ ἐγγυτάτω αὐτῦ τὸ σωμάτων πέμπτον, καὶ ἕκτον, ὅλα πνεῦμα δι᾽, σήπη δι᾽, ὅμως τὸ ὑποληπτέον πολὶ τὸ τὴν μέσον, ἡσυχαζέτω. διὸ τὸν ὅτι. κεινέτω μήτε κακόν πεῖν, μήτε ἀγαθόν, ὃ ἐπίσης διώκεται κακῷ ἀνδρὶ ὐ ἀγαθῷ συμβαίνειν. ὃ γὰρ κὴ τῷ κῷ φύσιν διοικῦντι ἐπίσης συμβαίνει. ὅτε τῦ κῦ φύσιν ὅτιν, ὅτε πρὸς φύσιν. Ὡς σφαῖρον τὸ κόσμον, μίαν ὐσίαν, καὶ ψυχὴν μίαν ἐκτείνειν, συνεχῶς ἐνθυμεῖν. καὶ πῶς εἰς αἴσθησιν μίαν, πᾶν τὸ τὸ πάντα ἀναδίδοται, καὶ πῶς ὁρμὴ μία πάντα πράσσει. ὐ πῶς

πάντα

πάντα πάντων τῶν γινομένων συναίτια. καὶ οἷά τις ἡ σύννησις καὶ συμμήρυσις. ψυχαίριον εἶ βαστάζον νεκρὸν, ὡς Ἐπίκτητος ἔλεγεν. οὐδέν ἐστι κακὸν, τοῖς ἐν μεταβολῇ γινομένοις. ὡς οὐδὲ ἀγαθὸν, ἐκ ματαβολῆς ὑφισταμένοις. Ποταμός τις ἐκ τῶν γινομένων καὶ ῥεῦμα βίαιον ὁ αἰών. ἅμα τε γὰρ ὤφθη ἕκαστον καὶ παρενήνεκται, καὶ ἄλλο παραφέρεται, καὶ δὲ ἐνεχθήσεται. Πᾶν τὸ συμβαῖνον οὕτως συνήθεσι καὶ γνώριμον, ὡς τὸ ῥόδον ἐν τῷ ἔαρι, καὶ ὀπώρα ἐν τῷ θέρει· τοιοῦτον γὰρ καὶ νόσος, καὶ θάνατος, καὶ βλασφημία καὶ ἐπιβουλὴ, καὶ ὅσα τοῦ μωροὺς εὐφραίνει ἢ λύπει· τὰ ἑξῆς ἀεὶ τοῖς προηγησαμένοις οἰκείως ἐπιγίνεται. οὐ γὰρ οἷον καταρίθμησίς τις ἐστὶν ἀπηρτημένως, καὶ μόνον καὶ κατηναγκασμένον ἔχουσα. ἀλλὰ συνάφεια εὔλογος, καὶ ὥσπερ συντέτακται συνηρμοσμένως τὰ ὄντα. οὕτως τὰ γινόμενα οὐ διαδοχὴν, ψιλὴν, ἀλλὰ θαυμαστήν τινα οἰκειότητα ἐμφαίνει. Ἀεὶ τοῦ ἡρακλειτείου μεμνῆσθαι· ὅτι γῆς θάνατος ὕδωρ γενέσθαι· καὶ ὕδατος θάνατος ἀέρα γενέσθαι· καὶ ἀέρος, πῦρ· καὶ ἔμπαλιν. Μεμνῆσθαι δὲ καὶ τοῦ ἐπιλανθανομένου ἢ ἡ ὁδὸς ἄγει. καὶ ὅτι ᾧ μαλιστα διηνεκῶς ὁμιλοῦσι λόγῳ, τῷ τὰ ὅλα διοικοῦντι, τούτῳ διαφέρονται. καὶ οἷς καθ' ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξένα φαίνεται. καὶ

ὅπ ὁ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν. καὶ γὰρ τότε δοκοῦμεν ποιεῖν καὶ λέγειν. καὶ ὅπ οὐ δεῖ παῖδας τοκέων ὧν πέπ' ἐστι κατὰ φίλον καὶ ὅπ πρεπόντως. Ὥσπερ εἴτις σοι θεῶν εἶπεν, ὅπ αὔριον θανεῖσθε, ἢ σαύτως εἰς τρίτην, ὀκ ἔτ' ἂν πρὰ μέγα ἐφρόνεις, ἢ εἰς τρίτην μᾶλλον, ἢ αὔριον, εἰ γε μὴ ἐσχάτως ἀγεννὴς εἶ· πόσον γὰρ ὄντι τὸ μεταξύ; ὅπως καὶ τὸ εἰς πολλοστὸν ἕως μᾶλλον, ἢ αὔριον, μηδὲν μέγα εἶναι νόμιζε. Ἐννοεῖν σωεχῶς· πόσοι μὲν ἰατροὶ ἀχθεινήκασι, πολλάκις τὰς ὀφρῦς ὑπὲρ τῶν ἀῤῥώστων συναγαγόντες. πόσοι δὲ μαθηματικοί, ἄλλων θανάτους ὡς μέγα προεφθόντες; πόσοι δὲ φιλόσοφοι πολὺ θανάτῳ ἢ ἀθανασίας μυρία ἀφεστηκότες; πόσοι δὲ ἀρεσεῖς πολὺς ἀχθεινάντες; πόσοι δὲ τύραννοι ὕβρισίας ψυχῶν μετὰ δεινοῦ φρυαγματος ὡς ἀθανάτου κεχρημένοι; πόσαι δὲ πόλεις ὅλαι, ἵν' οὕτως εἴπω, τεθνήκασιν· Ἑλίκη, καὶ Πομπήϊοι, καὶ Ἡρακλαῖνον, καὶ ἄλλαι ἀναρίθμητοι. Ἔπειθ δὲ καὶ ὅσους οἶδας, ἄλλον ἐπ' ἄλλῳ, ὁ μὲν πρῶτον κηδεύσας, εἶτα ὑπ' ἐκείνου. σαύτα δὲ οὐ βραχεῖ. τὸ γὰρ ὅλα καπδεῖν ἀεὶ τὰ ἀνθρώπινα ὡς ἐφήμερα καὶ βύτελῆ. καὶ ἐχθὲς μὲν μυξάριον. αὔριον δὲ τάριχθ', ἢ τέφρα. Ὃ' ἀναριθμὸς ὃν τοῦτο τοῦ

χρόνου

χρόνου κατὰ φύσιν διελθεῖν, καὶ ἵλεων κατα-
λῦσαι· ὡς αἱ ἐλαία πεπῶν γενομένη,
ἔπεσεν, εὐφημοῦσα τὴν ἀγκάδα, καὶ χάριν
εἰδυῖα τῇ φύσαντι δένδρῳ. Ὅμοιον εἶναι τὴν
ἄκρα, ᾗ διωκικῶς τὰ κύματα προσρήσσεται.
ἡ δὲ ἕξις καὶ πρὸς αὐτὴν κομίζεται τὰ
φλεγμήναντα τοῦ ὕδατος. Ἀτυχὴς ἐγὼ ὅτι
τοῦτό μοι ξυνέβη. οὐμενοῦν, ἀλλ' εὐτυχὴς ἐγὼ,
ὅτι τότε μοι συμβεβηκότος, ἄλυπος διατε-
λῶ, οὔτε νῦν πρόντος θρασύμενος, οὔτε
ἐπὶ φοβούμενος. συμβῆναι μὲν γὰρ τὸ ζῆν-
το πᾶσι ἐθελούσῃ· ἄλυπος δὲ ὁ πᾶς ἐπὶ
τούτῳ ἂν διετέλεσεν. Διὰ τί δὲ ἐκεῖνο μᾶλλον ἀ-
τύχημα, ἢ τοῦτο εὐτύχημα; λέγεις ὃ ὅλως ἀτύχη
μα ἀνθρώπου. ὃ δὲ κἂν ἔσειν ἀποτύχημα τῆς φύσεως
τοῦ ἀνθρώπου. ἀποτύχημα ὂν τῆς φύσεως τοῦ ἀνθρώ
που εἶναί σοι δοκεῖ, ὃ μὴ πρὸς τὸ βέλημα τῆς φύ-
σεως αὐτοῦ ᾖ. Τί δὲν τὸ βέλημα; μεμάθηκας; μὴ τι
δὲν δ' συμβεβηκὸς τοῦτο κωλύσει δίκαιον εἶν; με-
γαλόψυχοι; σώφρονα; ἔμφρονα; ἀπρόπτωτον;
ἀδιαλύβυσον; αἰδήμονα; ἐλεύθερον; τἄλλα ἃ
συμπόντων ἡ φύσις ἡ τοῦ ἀνθρώπου ἀπέχει τὰ ἴ-
δια. Μέμνησο λοιπὸν ἰδιώτου τοῦ εἰς λύπη σε
πεφαγυμένου, τούτῳ χρῆσθαι τῷ δόγματι. ἐχό-
που τοῦτο ἀτύχημα, ἀλλὰ τὸ φέρειν αὐτὸ γενναίως,
εὐτύχημα, ἰδιωτικὸν μὲν, ὅμως δ' ἀνθρώπινον βοήθη-

μα πρὸς θανάτου καταφρόνησιν, ἡ ἀναπόλη-
σις τῶν γλίσχρως ἐνδιατριψάντων τῷ ζῆν. τί
οὖν αὐτοῖς πλέον, ἢ τοῖς ἀώροις; πάντως ποῦ-
ποτε κεῖνται, Καδικιανὸς, Φάβιος, Ιουλιανὸς,
Λέπιδος. ἢ εἴτις τοιοῦτος, οἳ πολλοὺς ἐξήνεγκαν,
εἶτα ἐξηνέχθησαν. ὅλον μικρόν ἐστι τὸ διάστημα,
καὶ τοῦτο δι' ὅσων, καὶ μεθ' ὁίων ἐξαντλούμενον,
καὶ ἐν ὁίῳ σωματίῳ; μὴ οὖν ὡς πρᾶγμα. βλέπε
γὰρ ὀπίσω τὸ ἀχανὲς τοῦ αἰῶνος, καὶ τὸ πρό-
σω ἄλλο ἄπειρον. ἐν δὴ τούτῳ, τί διαφέρει ὁ
τριήμερος τοῦ τριγερηνίου. Ἐπὶ τὴν συντο-
μον ἀεὶ τρέχε. συντομος δὲ ἡ κατὰ φύσιν. ὥστε κα-
τὰ τὸ ὑγιέστατον παῖν λέγειν καὶ πράσσειν. ἀπαλ-
λάσσει γὰρ ἡ τοιαύτη πρόθεσις, κόπων,
καὶ στρατείας, καὶ πάσης οἰκονομίας
καὶ κομψείας.

ΜΑΡΚΟΥ

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙ-
νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον ε'.

ΟΡΘΡΟΥ ὅταν δυσόκνως ἐξεγείρη, πρόχειρον ἔστω, ὅτι ἐπὶ ἀνθρώπου ἔργον ἐγείρομαι. ἔτι οὖν δυσκολαίνω εἰ πορεύομαι ἐπὶ τὸ ποιεῖν, ὧν ἕνεκεν γέγονα, καὶ ὧν χάριν προῆγμαι εἰς τὸν κόσμον. ἢ ἐπὶ τοῦτο κατεσκεύασμαι, ἵνα κατακείμενος τοῖς στρωματίοις ἐμαυτὸν θάλπω. ἀλλὰ τοῦτο ἥδιον. πρὸς τὸ ἥδεσθαι οὖν γέγονας, ὅλως δὲ οὐ πρὸς ποιεῖν ἢ πρὸς ἐνέργειαν; οὐ βλέπεις τὰ φυτάρια, τὰ στρουθάρια, τὰ μύρμηκας, τὰ ἀράχνας, τὰς μελίσσας, τὸν καθ' αὑτὰς συγκοσμούσας κόσμον· σὺ οὐ θέλεις τὰ ἀνθρωπικὰ ποιεῖν; οὐ τρέχεις ἐπὶ τὸ κατὰ τὴν σὴν φύσιν; ἀλλὰ δεῖ καὶ ἀναπάνεσθαι. δεῖ. ἔδωκε καὶ τούτου μέτρα ἡ φύσις. ἔδωκε μὲν τοι καὶ τοῦ ἐσθίειν, καὶ πίνειν· καὶ ὅμως σὺ, ὑπὲρ τὰ μέτρα, ὑπὲρ τὰ ἀρκοῦντα προχωρεῖς. ἐν ταῖς πράξεσι, οὐκ ἔτι ἀλλ' ἐντὸς τοῦ δυνατοῦ. οὐ γὰρ φιλεῖς σεαυτόν. ἐπεί τοι καὶ τὴν φύσιν ἄντου, καὶ τὸ βούλημα ταύτης ἐφίλεις. ἄλλοί τε τὰς

τέχνας ἑαυτῷ φιλοῶτος, συγκατατίκνονται
τοῖς κατ' αὐτὰς ὄργοις, ἄλλοι δ' ἄσιτοι. σὺ
πρὸ φύσιν πρὸ σαυτοῦ ἔλασσον τιμᾶς, ἢ ὀρνιθυτὴς
τῆς ὀρνιθυτικῆς ἢ ὀρχηστὴς τῆς ὀρχηστικῆς. ἢ ὁ φι-
λάργυρος τοῦ ἀργυρίου. ἢ ὁ κενόδοξος τοῦ δοξα-
ρίου. καὶ δοῖ ὅταν προσαθῶσιν, ὅτε φαγεῖν,
οὔτε κοιμηθῆναι θέλουσι μᾶλλον, ἢ ταῦτα συ-
ναύξειν πρὸς ἃ φέρονται. σοὶ δ' αἱ κοινωνικαὶ πρά-
ξεις οὐ τελέστεραι φαίνονται, καὶ ἧσσον σοῦ ἄξιαι; ὡς οὐκ ἔλθων ἀπώσασθαι, καὶ ἀπαλεῖψαι
πᾶσαν φαντασίαν πρὸ ὀχληρὰν, ἢ ἀνοίκειον, ἡ
οὐθὲν σὺ πάσχειν ἀλήθειαν ἔστιν. Ἄξιον ἑαυτὸ κρίνε
σαυτὸς λόγος ἡ ἔργα, τῆς φύσιν, ἡ μὴ σὲ πρά-
πάτω ἢ ἐπακολουθοῦσα πνοῦν μέμψις. ἢ λόγος.
ἀλλὰ ἐκαλὸν πεπρᾶσθαι, ἢ εἰρῆσθαι, μὴ σεαυτὸν
ἀπαξίου. ἐκεῖνοι μὲν γὰρ, ἴδιον ἡγεμονικὸν ἔχουσι,
καὶ ἰδίαν ὁρμὴν χρῶνται. ἃ σὺ μὴ προβλέπε,
οὐθὲν ὑπερφρόνει, ἀκολουθῶν τῇ θύσῃ τῇ ἰδίᾳ ἡ τῇ
κοινῇ. Μίαν δ' ἀμφοτέρων τούτων ἡ ὁδὸς. πορεύομαι
δὲ τὴν κατὰ φύσιν, μέχρι πεσὼν ἀναπαύσο-
μαι ἀναπνεύσας μὲν τούτῳ, ἐφ' ᾧ καθ' ἡ-
μέραν ἀναπνέω. πεσὼν δὲ ἐπὶ τούτῳ, ἐφ' ᾧ καὶ
τὸ σπέρμα ὁ πατήρ μου ἐσπείρατο, καὶ τὸ αἷ-
μα τὸν ἡ μήτηρ, καὶ τὸ γάλα τὸν ἡ τροφός, ἐφ'
ᾧ καθ' ἡμέραν τοσούτοις ἔτεσι βόσκομαι, καὶ ἀρ-
δεύομαι, ὁ φέρων με πατοῦντα, καὶ εἰς τοσαῦτα
ἀποχρώ-

ἀποχρώμενον ἑαυτῷ· Δριμύτητά σου οὐκ ἔχουσι θαυμάζειν; ἔστω ἀλλὰ ἕτερα πολλά, ἐφ' ὧν οὐκ ἔχεις εἰπεῖν, οὐ γὰρ πέφυκα. ἐκεῖνα οὖν πρέχου, ἅπερ ὅλα ἐστὶ ἐν σοὶ τὸ ἀκίβδηλον, τὸ σεμνὸν, τὸ φερέπονον, τὸ ἀφιλήδονον, τὸ ἀμεμψήμοιρον, τὸ ὀλιγοδεὲς, τὸ εὐμενὲς, τὸ ἐλεύθερον, τὸ ἀπέρισσον, τὸ ἀφλύαρον, τὸ μεγαλεῖον, οὐκ αἰσθάνει, πόσα ἤδη πρέχεσθαι δυνάμενος, ἐφ' ὧν οὐδεμία ἀφυΐας καὶ ἀνεπιτηδειότητος πρόφασις, ὅμως ἔτι κάτω μένεις ἑκών; Ἢ καὶ γογγύζειν, καὶ γλισχρεύεσθαι, καὶ κολακεύειν, καὶ τὸ σωμάτιον καταιτιᾶσθαι, καὶ ἀρέσκεσθαι, καὶ περπερεύεσθαι, καὶ τοσαῦτα ῥιπτάζεσθαι τῇ ψυχῇ, δὲ τὸ ἀφυῶς κατεσκευάσθαι ἀναγκάζῃ; οὐ, μὰ τοὺς θεοὺς, ἀλλὰ τούτην μὲν πάλαι ἀπηλλάχθαι ἐδυνάσω. μόνον δὲ εἰ ἄρα ὡς βραδίτερος, καὶ δυσπαρακολουθητότερος καταγινώσκεσθαι. καὶ τοῦτο δὲ ἀσκητέον μὴ πρανθυμουμένῳ, μηδὲ ἐμφιληδονοῦντι τῇ νοθείᾳ. Ὁ μὴ τίς ἐστιν, ὅταν τι δεξιὸν περί τινα πράξῃ, πρόχειρος καὶ λογίσασθαι αὐτῷ τὴν χάριν. ὁ δὲ πρὸς τοῦτο μὴ οὐ πρόχειρος, ἄλλως μέντοι πρὸς ἑαυτῷ, ὡς περὶ χρεώστου διανοεῖται, ὃ οἶδεν ὃ πεποίηκεν. ὁ δέ τις τρόπον τινὰ οὐδὲ οἶδεν ὃ πεποίηκεν· ἀλλὰ ὅμοιός ἐστιν ἀμπέλῳ βότρυν ἐνεγκούσῃ, καὶ μηδὲν ἄλλο προσεπιζητούσῃ, μετὰ τὸ ἅπαξ τὸν ἴδιον καρπὸν ἐνηνο-

ἐνηνοχέναι. Ἵππος σραμὼν, κύων ἐχνεύσας, μέλισσα μέλι ποιήσασα. ἄνθρωπος δ' εὖ ποιήσας οὐκ ἐνδιβοᾶται· ἀλλὰ μεταβαίνει ἐφ' ἕτερον ὡς ἄμπελος ἐνδὶ τὸ πάλιν ἐν τῇ ὥρᾳ τὴν βότρυν ἐνεγκεῖν. ἐν τούτοις οὖν δεῖ εἶναι, τοῖς τρόπον τινὰ ἀπρακολουθήτως αὐτὸ ποιοῦσι; ναὶ. ἀλλ' αὐτὸ τοῦτο, δεῖ πρακολουθεῖν. ἴδιον γάρ φησι τοῦ κοινωνικοῦ, τὸ αἰσθάνεσθαι ὅτι κοινωνικῶς ἐνεργεῖ. καὶ νὴ δία βούλεσθαι καὶ τὴν κοινωνὸν αἰσθέσθαι. ἀληθὲς μὲν ἐστὶ ὃ λέγεις· τὸ δὲ νῦν λεγόμενον πρεκδέχη. δὴ τοῦτο ἔσῃ εἷς ἐκείνων, ὧν πρότερον ἐπεμνήσθην. Ὁ γὰρ ἐκεῖνοι λογικῇ τινι πιθανότητι πράγονται. ἐὰν δὲ θελήσῃς συνεῖναι τί ποτέ ἐστι τὸ λεγόμενον, μὴ φοβοῦ, μὴ πρὰ τοῦτο παραλίπῃς τὶ ἔργον κοινωνικόν. Εὐχὴ Ἀθηναίων, ὗσον, ὗσον ὦ φίλε ζεῦ κατὰ τῆς ἀρούρας τῆς Ἀθηναίων καὶ τῶν πεδίων. ἤτοι οὐ δεῖ εὔχεσθαι, ἢ οὕτως ἁπλῶς καὶ ἐλευθέρως. Ὁποῖός ἐστι τὸ λεγόμενος, ὅτι συνέταξεν ὁ Ἀσκληπιὸς τούτῳ ἱππασίαν· ἢ ψυχρολουσίαν, ἢ ἀνυποδησίας τοιοῦτόν ἐστι καὶ τὸ συνέταξεν τούτῳ ἡ τῶν ὅλων φύσις, νόσος, ἢ πήρωσιν, ἢ ἀχρβολὴν ἢ ἄλλό τι τῶν τοιούτων. καὶ γὰρ ἐκεῖ τὸ συνέταξεν τοιοῦτόν τι σημαίνει. ἔταξε τοῦτο πρὸς τοῦτο, ὡς κατάλληλον εἰς ὑγίειαν. καὶ ἐνταῦθα τὸ συμβαῖνον ἑκάστῳ τέτακταί πως

πρὸς

πρὸς αὐτὸ κατάλληλον εἰς τὴν εἱμαρμένην. οὕτως γὰρ καὶ συμβαίνειν αὐτὰ ἡμῖν λέγομεν, ὡς καὶ τοὺς τετραγώνους λίθους ἐν τοῖς τείχεσι, ἢ ταῖς πυραμίσι συμβαίνειν οἱ τεχνῖται λέγουσι, συναρμόζοντας ἀλλήλοις τῇ ποιᾷ συνθέσει. Ὅλως γὰρ ἁρμονία ἐστί μία. καὶ ὥσπερ ἐκ πάντων τῶν σωμάτων ὁ κόσμος τοιούτους σῶμα συμπληροῦται, οὕτως ἐκ πάντων τῶν αἰτιῶν ἡ εἱμαρμένη τοιαύτη αἰτία συμπληροῦται. Νοοῦσι δὲ ὃ λέγω, καὶ οἱ τέλεον ἰδιῶται. φασί γὰρ τοῦτο ἔφερεν αὐτῷ. οὐκοῦν τοῦτο τούτῳ ἐφέρετο, καὶ τοῦτο τούτῳ συνετάττετο. δεχώμεθα οὖν αὐτὰ, ὡς ἐκεῖνα ὁ Ἀσκληπιὸς συντάττει. πολλὰ γοῦν καὶ ἐν ἐκείνοις ἐστὶ τραχέα· ἀλλὰ ἀσπαζόμεθα τῇ ἐλπίδι τῆς ὑγιείας. τοιοῦτόν τι σοι δοκείτω, ἄνυσις καὶ συντέλεια τῶν τῇ κοινῇ φύσει δοκούντων, οἷον ἡ σὴ ὑγίεια. καὶ οὕτως ἀσπάζου πᾶν τὸ γινόμενον, κἂν ἀπηνέστερον δοκῇ, διὰ τὸ ἐκεῖ ἄγειν, ἐνθὶ τὴν τοῦ κόσμου ὑγίειαν, καὶ τὴν τοῦ Διὸς εὐοδίαν καὶ εὐπραγίαν. οὐ γὰρ ἂν τοῦτό τι ἔφερεν, εἰ μὴ τῷ ὅλῳ συνέφερεν. οὐδὲ τὴν ἡ τυχοῦσα φύσις φέρει τι, ὃ μὴ τῷ διοικουμένῳ ὑπ' αὐτῆς κατάλληλόν ἐστι. Οὐκοῦν κατὰ δύο λόγους στέργειν χρὴ τὸ συμβαίνοντος σοι. καθ' ἕνα μὲν, ὅτι σοὶ ἐγίνετο, καὶ σοὶ συνετάττετο, καὶ πρὸς σέ πως εἶχεν ἄνωθεν ἐκ τῶν πρεσβυτάτων

τάτην αἰτίων συγκλωθόμενον. καθ' ἕτερον δέ, ὅπ τῷ ἀόλον διοικεῖνπ τ' οὐσίας καὶ τ' ζωτελείας, καὶ νὴ δία τ' συμμονῆς αὐτ' αἰτίου ἐσι. ωαρέσται γὰρ ὁ ὁλόκληρον, ἐαν καὶ ὁπσῦν ἀφαιρεθῇς τ' σωαφείας ὃ σωεχείας ὥσωερ τὴν μοίων, ὅτω δὲ καὶ τὴν αἰτίων. Ἀφικόμῆς δὲ ὅσον ἰδίσοι, ὅταν δυσαρεσῆς, μὴ τρόσων πνά αἰρῆς· Μὴ σιηχαίνειν μηδ' ἐαυδαῖν, μηδ' ἀφ δυασεῖν, εἰ μὴ καταπυκνῶταί σοι τὸ ἀφ δογμάτην ὀρθῶν ἕναεα πράσειν. ἀλλὰ ἐκπραθέντα, πάλιν ἐπανιέναι, μὴ ἀσμενίζειν ἐς τὰ ὠλέωα ἀνθρωπικότερα, © φιλεῖν ἔθος, ἐφ' ὃ ἐπανίεχη. καὶ μὴ ὡς πρὸς παιδαγωγὸν τὴν φιλοσοφίαν ἐπανιέναι. ἀλλ' ὡς οἱ ὀφθαλμιδντες πρὸς δ' σουγγάσιον © τὸ ὠόν, ὡς ἄλλο πρὸς κατάὠλασμα, ὡς πρὸς καταιόησιν· οὕτως γὰρ ὀδὲν ἰδίδείξει τὸ σειθαρχεῖν τῷ λόγῳ, ἀλλὰ προζαναπαύσῃ αὐτῷ. Μέμνησο ὃ ὅπ φιλοσοφία μόνα θέλει ἃ ἡ φύσις σε θέλει· σὺ ὃ ἄλλο ἢ θέλοδ οὐ κ' φύσιν. τί γὰρ τότων προώλωέτερον; ἢ γ' ἡδονὴ ἢ χί Ἀφ' οὗ σφάλῃ; ἀλλὰ θέαζαι ἐ προώλωέτερον μεγαλοψυχία, ἐλδυθεία, ἀωλότης, δύγνωμοσύνη, ὁσιότης. αὐτ' γὰ φρονήσεως τί προώλωέτερον; ὅταν τὸ ἅπαιδον ἡ δύρσν οἷ πᾶσι τ' πρηκλοθήκης ἢ ἰδιδημονικῆς δυνάμεως οἰδυμηθῆς. Τὰ μὲν πράγματα οἰ τοιαύ-

ἐν τοιαύτῃ τρόπον τινὰ ἐγκαλύψει ἐστὶν, ὥστε φιλοσόφοις οὐκ ὀλίγοις οὐδὲ τοῖς τυχοῦσιν ἔδοξε ἢ παντάπασιν ἀκατάληπτα εἶναι, πλὴν αὐτοῖς γε τοῖς Στωϊκοῖς δυσκατάληπτα δοκεῖ. καὶ πᾶσα ἡ ἡμετέρα συγκατάθεσις, μεταπτωτή, ποῦ γε ὁ ἀματάπτωτος; μέτιθι τοίνυν ἐπ' αὐτὰ τὰ ὑποκείμενα, ὡς ὀλιγόχρονα, καὶ εὐτελῆ, καὶ δυνάμενα ἐν κτήσει κιναίδου, ἢ πόρνης, ἢ λησοῦ εἶναι. μετὰ τοῦτο ἔπιθι ἰδὲ τὰ τῶν συμβιούντων ἤθη, ὧν μόλις ἐστὶ τοῦ χαριεστάτου ἀνασχέσθαι, ἵνα μὴ λέγω ὅτι καὶ ἑαυτόν τις μόγις ὑπομένει. Ἐν τοιούτῳ οὖν ζόφῳ, τοῦ ῥύπῳ καὶ τοσαύτῃ ῥήσει τῆς τε οὐσίας, καὶ τοῦ χρόνου, τοῦ τῆς κινήσεως, καὶ τῶν κινουμένων, τί ποτ' ἐστὶ τὸ ἐκτιμηθῆναι ἢ τὸ ὅλως προσδασθῆναι δυνάμενον, οὐδ' ἰδιωνοῦ. τοῦ ναντίον δὲ δεῖ παραμυθούμενον ἑαυτὸν παριμένειν τῇ φυσικῇ λύσιν, καὶ μὴ ἀσχάλλειν τῇ διατριβῇ, ἀλλὰ τούτοις μόνοις προσαναπαύεσθαι. ἐνὶ μὲν τῷ ὅτι οὐδὲν συμβήσεταί μοι, ὃ οὐχὶ κατὰ τὴν τῶν ὅλλων φύσιν ἐστίν. ἑτέρῳ δὲ, ὅτι ἔξεστί μοι μηδὲν πράσσειν παρὰ τὸν ἐμὸν θεὸν καὶ δαίμονα. οὐδεὶς γε ὁ ἀναγκάσων τοῦτον παραβῆναι. Πρὸς τί ποτε ἄρα νῦν χρῶμαι τῇ ἐμαυτοῦ ψυχῇ; πρὸς ἕκαστον τοῦτο ἐπανερωτᾶν ἑαυτὸν, καὶ ἐξετάζειν, τί μοι ἐστὶ νῦν ἐν τούτῳ τῷ μορίῳ, ὃ δὴ ἡγεμονικὸν καλοῦσι; τίνος ἄρα νῦν ἔχω ψυχήν, μήτι παιδίου; μήτι μειρακίου,

μήτι

μήτε γυναικείου, μήτε τυραννου; μήτε κτήνους, μήτε θηρίου; Ὅσοις πνα ὄντα τὰ τοῖς πολλοῖς δοκοῦντα ἀγαθὰ, καὶ αὐτοῦθελε λάβοις. εἰ γάρ τις ἐμπνοήσειεν ὑπάρξαι τά πνα ὡς ἀληθῶς ἀγαθὰ, οἷον φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρείαν, οὐκ ἂν ταῦτα προεπινοήσας, ἔτι ἀκούσαι δυνηθείη τι. τὸ γὰρ ἀγαθῷ γὰρ ἐφαρμόσει. τὰ δέ γε τοῖς πολλοῖς φαινόμενα ἀγαθὰ προεπινοήσας τίς ἀρκέσεται, καὶ ῥᾳδίως δέξεται, ὡς οἰκείως ὠφελεγόμενον τὸ τοῦ τοῦ κωμικοῦ ἑρμαῖον. οὕτως καὶ οἱ πολλοὶ φανταζονται τὸν ἀγαθόν. οὐ γὰρ ἂν ἔβαρε μὴν ὁ προσκηπεν καὶ ἀπηξιοῦτο. τὸ δὲ ὠδὶ τὸ πλούτου καὶ τὴν πρὸς τρυφὴν δόξαν ὑπλήρημάτην προσδεχόμεθα, ὡς ἱκνουμένως καὶ ἀσέως ἑρμαῖον. πρόσθι οὖν καὶ ἐρώτα, εἰ τιμητέον καὶ ἀγαθὰ τοιαῦτα, ὧν προεπινοήσεν τὴν οἰκείως αὐτὸν διαφέροιο, τὸ κεκτημένον αὐτὰ τοῦ δυσεβείας, ἢ κακῶς ἔχειν ὅποι χέσῃ.

Ἐξαυτιῶδους καὶ ὑλικοῦς σωμάτιον. οὐδέτερον δὲ τούτων εἰς τὸ μὴ ὂν φθαρήσεται. ὥσπερ δὲ ἐκ τοῦ μὴ ὄντος γέγονε, κἀκεῖν καταλαβήσεται πᾶν μέρος ἐμοὶ καὶ τὰ μεταβολὴν εἰς μέρος τι τοῦ κόσμου, καὶ πάλιν ἐκεῖνο εἰς ἕτερον μέρος τοῦ κόσμου μεταβαλεῖ· καὶ ἧδη εἰς ἄπειρον.

ἄπειρον. κατὰ διαύτων δὲ μεταβολὴ κἀχθὲ
ὑστέρων, καὶ οἱ ἐμὲ γεννήσαντες, καὶ ἐπανιόν-
πι εἰς ἄλλο ἄπειρον. ὀδὲν γὰρ κωλύει ὅτως φά-
ναι, κ' ἂν κῦ φθειρόδος τοῦ πεπρασμένας ὁ κόσμος
διοικῆται.

Ὁ λόγος καὶ ἡ λογικὴ τέχνη δυνάμεις
εἰσὶν ἑαυταῖς ἀρκέσθαι, καὶ τοῖς καθ' ἑαυ-
τὰς ὁρμοῖς ὁρμῶνται ἀπὸ τῆς οἰκείας ἀρ-
χῆς. ὁδὸς ἐστὶν εἰς τὸ προκείμενον τέλος. καὶ ὀ
καθορθώσεις. αἱ τοιαῦται πράξεις ὀνομάζον-
τῆς ὀρθότητα τῆς ὁδοῦ σημαίνουσι. Οὐδὲν τούτῳ
ῥητέον ἀνθρώπου, ἃ ἀνθρώπῳ καθ' ἀνθρωπος
ὅτι, ὀκ ἰδιωτικά. ὀκ ἔστιν ἀπαιτήματα ἀνθρώ-
που, ὀδὲ ἐπαγγέλλεται αὐτὰ ἡ τοῦ ἀνθρώπου φύ-
σις. ὀδὲ τελειότητες εἰσὶ τῆς ἀνθρώπου φύ-
σεως. ὀ τοίνυν ὀδὲ τὸ τέλος αὐτοῖς ὅτι τῷ ἀν-
θρώπῳ κείμενον. ὀδὲ τὸ συμπληρωτικὸν τοῦ τέ-
λους τὸ ἀγαθόν. ἐπὶ εἴπερ τούτῳ ἦν ἰδιωτικὸν
τῷ ἀνθρώπῳ, ὀκ ἂν τὸ ὑπερφρονεῖν αὐτῆς, καὶ
καταξανίσασθαι, ἰδιωτικὸν ἦν. ὀδὲ ἐπαινετὸς
ἦν ὁ ἀπεσοδεῖ τούτῳ ἑαυτὸν παρεχόμενος. ὀδ'
ἂν ὁ ἐλαττωτικὸς ἑαυτοῦ ᾖ τινι τούτῳ ἀγαθὸς
ἦν, εἴπερ ταῦτα ἀγαθὰ ἦν. Νῦν δ' ὥσπερ
πολέμιος τὶς ἀφαιρῶν ἑαυτοῦ τοῦτο, ἢ τοιού-
τῳ ἑτέρῳ, ἢ καὶ ἀφαιρούμενά τι τούτῳ ἀνέ-
χεται, τοσῶδε μᾶλλον ἀγαθὸς ὅτι. Οἷα αἱ πολ-

λάκις φαντασθῇς, τοιαύτη τοι ἔσται ἡ διάνοια· βάπτεται γὰρ ὑπὸ τῶν φαντασιῶν ἡ ψυχή. βάπτε οὖν αὐτὴν, τῇ συνεχείᾳ τῶν τοιούτων φαντασιῶν. οἷον, ὅτι ὅπου ζῆν ἐστιν, ἐκεῖ καὶ εὖ ζῆν. ἐν αὐλῇ δὲ ζῆν ἐστιν, ἔστιν ἄρα καὶ εὖ ζῆν ἐν αὐλῇ. Καὶ πάλιν, ὅτι οὗπερ ἕνεκεν ἕκαστον κατεσκεύασται. πρὸς ὃ δὲ κατεσκεύασται, πρὸς τοῦτο φέρεται. πρὸς ὃ φέρεται δὲ, ἐν τούτῳ τὸ τέλος αὐτοῦ. ὅπου δὲ τὸ τέλος, ἐκεῖ καὶ τὸ συμφέρον, καὶ τἀγαθὸν ἑκάστου. τὸ ἄρα ἀγαθὸν τοῦ λογικοῦ ζώου, κοινωνία. ὅτι γὰρ πρὸς κοινωνίαν γεγόναμεν, πάλαι δέδεικται. Ἢ οὐκ ἦν ἐναργὲς, ὅτι τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ δὲ κρείττω ἀλλήλων; κρείττω δὴ τῶν μὲν ἀψύχων, τὰ ἔμψυχα· τῶν δὲ ἐμψύχων, τὰ λογικά. Τὸ τὰ ἀδύνατα διώκειν, μανικόν. ἀδύνατον δὴ τὸ τοὺς φαύλους μὴ τοιαῦτα τινὰ ποιεῖν. Οὐδὲν οὐδενὶ συμβαίνει, ὃ οὐχὶ ἐκεῖνο πέφυκεν φέρειν αὐτῷ. ἄλλῳ τὰ αὐτὰ συμβαίνει. καὶ ἤτοι ἀγνοῶν ὅτι συμβέβηκεν, ἢ ἐνδεικνύμενος μεγαλοφροσύνην εὐσταθεῖ, ἢ ἀκάκοτος μένει. δεινὸν οὖν ἄγνοιαν καὶ ἀρέσκειαν ἰσχυροτέρας εἶναι φρονήσεως. Τὰ πράγματα αὐτὰ οὐδ' ὁπωστιοῦν ψυχῆς ἅπτεται· οὐδὲ ἔχει εἴσοδον πρὸς ψυχὴν· οὐδὲ τρέψαι, οὐδὲ κινῆσαι ψυχὴν δύναται. τρέπει δὴ καὶ κινεῖ αὐτὴ ἑαυτὴν μόνη. Ὁ οἵων ἂν κριμά-

τῶν

τὴν καταξίωση ἑαυτῷ, τοιαῦτα ἑαυτῇ ποιεῖ πάντα προσυφεστῶτα. Καθ' ἕτερον δὲ λόγον ἡμῖν ἔστιν οἰκειότατον ἄνθρωπος, καθ' ὃν οὐ ποιητέον αὐτὸς καὶ ἀνεκτέον. καθ' ὅσον δὲ εἰσί τινες εἰς τὰ οἰκεῖα ἔργα, οὐ πᾶν τὴν ἀδιαφόρων μοι γίνεται ὁ ἄνθρωπος, οὐχ ἧσον ἢ ἥλιος, ἢ ἄνεμος, ἢ θηρίον. ὑπὸ τούτων δὲ οὐ ἐργεια μήτε ἐμποδισθείη ἄν. ὁρμῆς δὲ καὶ διαθέσεως, οὐ γίνεται ἐμποδισμὸς ἀλλὰ πᾶν ὑποκαίρεσιν, ἢ τὸν προσηκοντα. ποιητέον γὰρ καὶ μεθίστασθαι τὸ τῆς ὀργῆς κώλυμα ἡ διανοια εἰς δύναμιν. καὶ πρὸς ὀργὴ γίνεται ὁ τῆς ὀργῆς τοῦτο ἐφεκτικόν· ἡ πρὸς ὁδὸν, ὁ τῆς ὁδοῦ ταύτης οἰκειωτικόν. Τῶν δὲ τῷ κόσμῳ ὁ κρατιστον πῦμα. ἔστι δὲ οὗτος, τὸ πᾶν χρώμενον, καὶ πάντα διέπον. ὁμοίως δὲ καὶ τὴν σοί ὁ κράτιστον πῦμα. ἔστι δὲ οὗτος, ὁ ἐκείνῳ ὁμολογίας. καὶ γὰρ ὧδε σοῦ ὁ τοῖς ἄλλοις χρώμενον, τοῦτο ὅτι, καὶ ὁ σὸς βίος, ὑπὸ τούτου διοικεῖται.

Ὁ τὴν πόλιν ὅτι βλαβερὸν, οὐδὲ τὸν πολίτην βλάπτει. ὧδε πάσης τοῦ βεβλάφθαι φαντασίας. οὗτον ἔπαγε τὸν κανόνα. εἰ ἡ πόλις ὑπὸ τούτου μὴ βλάπτεται, οὐδὲ ἐγὼ βέβλαμμαι. εἰ δὲ ἡ πόλις βλάπτεται, οὐκ ὀργιστέον τῷ βλάπτοντι τὴν πόλιν. τί τὸ προρώμενον. Πολλάκις ἐνθυμοῦ, ὁ τάχος τῆς μεταφορᾶς καὶ ὑπεξαγωγῆς τῶν

ὄντων τε καὶ γινομένων. ἥτε γὰρ οὐσία οἷον ποταμός ἐν διηνεκεῖ ῥύσει, καὶ αἱ ἐνέργειαι ἐν συνεχέσι μεταβολαῖς, καὶ τὰ αἴτια ἐν μυρίαις τροπαῖς, καὶ σχεδὸν οὐδὲν ἑστώς, ὃ τὸ πρεγγύς. τὸ δὲ ἄπειρον τοῦτε παρωχηκότος καὶ μέλλοντος ἀχανές, ᾧ πάντα ἐναφανίζεται. πῶς οὖν οὐ μορός, ὁ ἐν τούτοις φυσώμενος, ἢ πρώμενος, ἢ σχετλιάζων, ὡς ἔν τινι χρόνῳ καὶ ὐπὶ μικρὸν ἐνοχλήσαντι; μέμνησο τῆς συμπάσης οὐσίας, ἧς ὀλίγιστον μετέχεις, καὶ τοῦ σύμπαντος αἰῶνος, οὗ βραχὺ καὶ ἀκαριαῖον σοι διάστημα ἀφώρισται, καὶ τῆς εἱμαρμένης, ἧς πόστον εἶ μέρος. Ἄλλος ἁμαρτανέι τι εἰς ἐμέ, ὄψεται. ἰδίαν ἔχει διάθεσιν, ἰδίαν ἐνέργειαν. ἐγὼ νῦν ἔχω ὅ με θέλει νῦν ἔχειν ἡ κοινὴ φύσις, καὶ πράσσω ὅ με νῦν πράσσειν θέλει ἡ ἐμὴ φύσις. Τὸ ἡγεμονικὸν καὶ κυριεῦον τῆς ψυχῆς σου μέρος, ἄτρεπτον ἔστω, ὑπὸ τῆς ἐν τῇ σαρκὶ λείας ἢ τραχείας κινήσεως. καὶ μὴ συγκρινέσθω, ἀλλὰ περιγραφέτω αὐτὸ, καὶ περιοριζέτω τὰς πείσεις ἐκείνας ἐν τοῖς μορίοις. ὅταν δὲ ἀναδιδῶνται κατὰ τὴν ἑτέραν συμπάθειαν εἰς τὴν διάνοιαν, ὡς ἐν σώματι ἡνωμένῳ, τότε πρὸς μὲν τὴν αἴσθησιν, φυσικὴν οὖσαν, οὐ πειρατέον ἀντιβαίνειν. τὴν δὲ ὑπόληψιν, τὴν ὡς περὶ ἀγαθοῦ ἢ κακοῦ, μὴ προστιθέτω τὸ ἡγεμονικὸν ἐξ αὐτοῦ. Συζῆν θεοῖς. Συζῆ

δὲ θεοῖς

ὑθεοῖς ὁ συνεχῶς δεικνύς αὐτοῖς τὴν ἑαυτοῦ ψυχὴν ἀρεσκομένην μὲν τοῖς ἀρεσκομένοις. ποιοῦσαν ὅσα βούλεται ὁ δαίμων, ὃν ἑκάστῳ προστήσας ἡγεμόνα ὁ Ζεὺς ἔδωκεν, ἀπόσπασμα ἑαυτοῦ. ὅτου δέ ἐστιν, ὁ ἑκάστου νοῦς καὶ λόγος. Τῷ γεράνῳ μήτι ὀργίζῃ; μὴ τῷ ὀζοστόμῳ ὀργίζῃ; τί οἱ ποιήσει; τοιοῦτον τόμα ἔχει, τοιαύτας μάλας ἔχει, ἀναγκαίως τοιαύτην ἀφορμὴν ἀπὸ τοιούτου γίνεσθαι. Ἀλλ' ὁ ἄνθρωπος λόγον ἔχει φησί, καὶ δύναται συννοεῖν ἐφ' ἃ σαίνουσι πῶς ἀλυπότατος ἔσται. δοῦ οἱ μέσοιτο. τοιγαροῦν καὶ σὺ λόγον ἔχεις, κίνησον λογικὴν ὄρεξιν, λογικὴν διάθεσιν· δεῖξον, ὑπόμνησον. εἰ γὰρ ἐπαίξῃ, θεραπεύσεις, καὶ ὁ χρέα ὀργῆς. ὅτε τραγῳδός, ὅτε κωμῳδός, ὅτε τύραννος. ὡς ἄριστον ζῷον ὄντως αὐταῦ θαι ζῷ ἔξεστιν. Ἐὰν δὲ μὴ ἰδιωτεύσωσι, τότε καὶ τὸ ζῷον ἐξιόν, ὅτως μέσοι, ὡς μηδὲν κακὸν πάσχον. καὶ κατὰ φύσιν ὅσα, ἀποίσομαι, τὰ αὐτὰ πράγματα δοκεῖς. μέχρι δὲ μέσοιτον ὁδὸν ἄγει, μέσω ἐλεύθερος. καὶ ὁδεὶς με κωλύσει ποιεῖν ἃ θέλω. θέλω δὲ κατὰ φύσιν τὸ λογικοῦ καὶ κοινωνικὸν ζῷον.

Ὁ τοῦ ὅλου νοῦς, κοινωνικός. ἐποίησε γοῦν τὰ χείρω τῶν κρειττόνων ἕνεκεν· καὶ τὰ κρείττω ἀλλήλοις συνήρμοσεν. ὁρᾷς πῶς ὑπέταξε, συνέταξε, καὶ ἑκάστοις κατ' ἀξίαν ἀπένειμε

